eul_wid: mlw-ak

*Ἀριστοφάνους Σχόλια* · Aristophanes Scholia

# Commentary-Frogs

*Ὑπόμνημα εἰς Βάτραχους*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

arg ran 1 t ΥΠΟΘΕΣΙΣ ΔΡΑΜΑΤΟΣ ΒΑΤΡΑΧΩΝ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ὁ παρὼν ποιητής, ὡς ἐν τῷ δράματι τοῦ Πλούτου τῷ τότε τῶν Ἀθηνῶν ἄρχοντι ὁπωσδήποτε χαριζόμενος, τότε τὸν Πλοῦτον ἀναβλέψαι φησὶ καὶ πλουτίσαι τοὺς ἀγαθούς, τῶν Νεφελῶν δὲ τὸ δρᾶμα τῷ φαινομένῳ γράψας κατὰ Σωκράτους, κατὰ παντὸς συνετάξατο φιλοσόφου μεταρσιολέσχου καὶ φυσικοῦ—Σωκράτης γὰρ μετερχόμενος τὴν ἠθικὴν φιλοσοφίαν, εἰ ἄρα κἂν ταύτην, κατεγέλα μεταρσιολογίας καὶ φυσικῆς, ὡς γράφει καὶ Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασι, θεολογίας δὲ ὡς ἀκαταλήπτου πάντῃ ἀπείχετο—ὡς οὖν τὸ δρᾶμα τοῦ Πλούτου ὑπὲρ τοῦ τότε ἄρχοντος Ἀθηνῶν ἀσυμφανῶς συνετάξατο, κατὰ παντὸς δὲ φιλοσόφου μεταρσιολέσχου καὶ ψευδοτύφου τὸ δρᾶμα τῶν Νεφελῶν, οὕτω καὶ τήνδε τὴν κωμῳδίαν τὴν τῶν Βατράχων κατὰ παντὸς ὑποψύχρου καὶ ὑψηγόρου καὶ ὑποξύλου καὶ ἀφυοῦς καὶ ἀτεχνότατα γράφοντος, τῷ μεμηνέναι δ’ οὐ συνιέντος αὑτὸν ὄντα βάρβαρον, οἰομένου δὲ μὴ μόνον ἰσοῦσθαι, ἀλλὰ καὶ τὰ κρείττονα φέρεσθαί τινων αἰθερίων ἀνθρώπων, ὡς τῷ ὑπὲρ φύσιν Ὁμήρῳ τις ἀνώνυμος ἤριζε Σάτυρος, Ἡσιόδῳ δὲ Κέρκωψ, ἢ πλέον εἰπεῖν, Εὔρυτος μὲν τοξικῇ, Μαρσύας δὲ μουσικῇ τῷ Ἀπόλλωνι, Σειρῆνες δὲ Μούσαις καὶ Θάμυρις ὁ μαινόμενος, ἢ ὡς ὁ Αἰγύπτιος Σῶφις καὶ ὁ Θετταλὸς Σαλμωνεὺς ταῖς οὐρανίοις λήρως ἀντιπαταγοῦντες βρονταῖς καὶ τοῖς κεραυνοῖς δῆθεν ἀνταπαστράπτοντες.

arg ran 1 1 (3) κατὰ τοιούτου παντὸς μὴ συνιέντος αὑτόν, ἐξυμνουμένου δὲ φιληταῖς ἀλογίστοις καθάρμασι, δίκην βατράχων βοῶσι θορυβωδέστατα, τὸ τοιοῦτον ὁ ποιητὴς δρᾶμα ἐξέθετο. ἡ διασκευὴ δὲ καὶ ἡ ἔκθεσις τοιάδε τοῦ δράματος. πλάττεται τῷ ποιητῇ δυσφορῶν ὁ Διόνυσος διὰ τὸ ἐν τοῖς Διονυσίοις μὴ εἶναι ἢ τραγικὸν ἢ κωμικὸν δεξιὸν ποιητήν. ὅθεν καὶ βουληθεὶς κατιέναι εἰς Ἅιδου, ὡς Εὐριπίδην ἐκεῖθεν ἀνάξειεν, ἐπὶ διονυσιακοῖς τοῖς κοθόρνοις, καὶ λεοντὴν καὶ ῥόπαλον ἔχων τρόπῳ τοῦ Ἡρακλέους, μετὰ Ξανθίου οἰκέτου, ὄνῳ ἐποχουμένου, τοῖς ὤμοις δὲ ἀνάφορον φέροντος, ὃ ἀλλακτὸν δημωδεστέρως καλεῖται, ἐς Θήβας ἢ Τίρυνθα, πόλιν τοῦ Ἄργους, ἀφικνεῖται πρὸς Ἡρακλέα, ὁδοὺς τὰς εἰς Ἅιδου ἀγούσας χρήζων μαθεῖν ἐξ αὐτοῦ καὶ πανδοχεῖα καὶ ἐκτροπάς, ᾇτε τοῦ Ἡρακλέους εἰς Ἅιδου πρὶν κατελθόντος ἐπ’ ἀναγωγῇ τοῦ Κερβέρου, εἰ καὶ δυσὶ γενεαῖς προγενέστερος Ἡρακλέους ἦν ὁ Διόνυσος. παρ’ οὗ μαθών, ὅσον ἔχρῃζεν, ἀπάρχεται τῆς πορείας. παρὰ τὴν λίμνην δὲ πεφθακὼς τὴν Ἀχερουσίαν, αὐτὸς μὲν ὁ Διόνυσος δυσὶν ὀβολοῖς περαιοῦται τῷ Χάρωνι, Ξανθίας δ’, ἀνθ’ ὧν τῇ περὶ Ἀργιννούσαις οὐκ ἐναυμάχησε ναυμαχίᾳ, τῷ Χάρωνι μὴ ἀναληφθεὶς πεζῇ τὴν λίμνην κύκλῳ περιπορεύεται. καὶ τί δεῖ λεπτολογεῖν τὸ πᾶν τοῦ συγγράμματος; τέλος ὁ Διόνυσος ξενίζεται Περσεφόνῃ καὶ

Πλούτωνι, καὶ κρίσιν ποιησάμενος ποιητῶν, Εὐριπίδου τε καὶ Αἰσχύλου, καὶ ἄριστον τῷ ὄντι Αἰσχύλον νομίσας καὶ παρὰ προσδοκίαν τοῦτον λαβών, ἀλλ' οὐκ Εὐριπίδην, αὖθις ἐς τοὺς ζῶντας ἀνέρχεται. τοῖς δὲ γελοίοις τούτοις ὁ κωμικὸς μεθόδῳ δεινότητος ἀνύει πάνυ γενναῖα καὶ σπουδαιότατα. τῇ γὰρ ἐξ Ἅιδου μετ' Αἰσχύλου πρὸς τοὺς ζῶντας ἀναφορᾷ, φησίν, παραπεμπόμενος ὁ Διόνυσος ἐντολὴν ἔσχε Πλούτωνος καὶ Περσεφόνης καὶ τοῦ χοροῦ τῶν μυστῶν, ὅπως τὴν Ἀθηναίων πολιτείαν ἰσώσῃ καὶ διαλύσῃ τὰς ἔχθρας καὶ τοὺς διὰ τὴν ἐν Ἀργιννούσαις μὴ γενομένην ἀναίρεσιν τῶν νεκρῶν γενομένους φυγάδας τε καὶ ἀτίμους αὖθις πολίτας τε καὶ ἐντίμους ποιήσειεν. ΥΠΟΘΕΣΙΣ ΒΑΤΡΑΧΩΝ μαθὼν παρ' Ἡρακλέους Διόνυσος τὴν ὁδὸν πρὸς τοὺς κατοιχομένους πορεύεται λαβὼν τὸ δέρμα καὶ τὸ σκύταλον, ἀναγαγεῖν θέλων Εὐριπίδην. [5]

arg ran 2 1 (3) λίμνην δὲ διέβαινεν κάτω καὶ τῶν βατράχων ἀνέκραξεν εὔφημος χορός. ἔπειτα μυστῶν ἐκδοχή· Πλούτων δ' ἰδὼν ὡς Ἡρακλεῖ προσέκοπτε διὰ τὸν Κέρβερον. ὡς δ' ἀνεφάνη, τίθεται τραγῳδίας ἀγών· καὶ δὴ στεφανοῦταί 〈γ'〉 Αἰσχύλος. τοῦτον δ' ἄγει Διόνυσος ἐς φῶς, οὐχὶ μὰ Δί' Εὐριπίδην. ΒΑΤΡΑΧΩΝ ΥΠΟΘΕΣΙΣ Διόνυσός ἐστι μετὰ θεράποντος Ξανθίου κατ' Εὐριπίδου πόθον εἰς Ἅιδου κατιών· ἔχει δὲ λεοντὴν καὶ ῥόπαλον πρὸς τὸ τοῖς ἐντυγχάνουσιν ἔκπληξιν παρέχειν. [5]

arg ran 3 1 (3) ἐλθὼν δ' εἰς τὸν Ἡρακλέα πρότερον, ἵνα ἐξετάσῃ τὰ κατὰ τὰς ὁδούς, δι' ὧν καὶ αὐτὸς ἐπὶ τὸν Κέρβερον ᾤχετο, καὶ ὀλίγα περὶ τῶν τραγικῶν διαλεχθεὶς ὁρμᾷ πρὸς τὸ προκείμενον. ἐπεὶ δὲ πρὸς τῇ Ἀχερουσίᾳ λίμνῃ γίνεται, ὁ μὲν Ξανθίας διὰ τὸ μὴ συννεναυμαχηκέναι τὴν περὶ Ἀργινούσας ὑπὸ τοῦ Χάρωνος οὐκ ἀναληφθεὶς πεζῇ τὴν κύκλῳ πορεύεται· ὁ δὲ Διόνυσος δύο ὀβολῶν περαιοῦται προσπαίζων ἅμα τοῖς κατὰ τὸν πόρον ᾄδουσι βατράχοις καὶ γελωτοποιῶν. μετὰ ταῦτα ἐν Ἅιδου τῶν πραγμάτων ἤδη χειριζομένων οἵ τε μύσται χορεύοντες ἐν τῷ προφανεῖ καὶ τὸν Ἴακχον ᾄδοντες ἐν χοροῦ σχήματι καθορῶνται ὅ τε Διόνυσος μετὰ τοῦ θεράποντος εἰς ταὐτὸν ἔρχεται τούτοις. τῶν δὲ προηδικημένων ὑπὸ Ἡρακλέους προσπλεκομένων τῷ Διονύσῳ διὰ τὴν ἐκ τῆς σκευῆς ἄγνοιαν, μέχρι μὲν οὖν τινος οὐκ ἀγελοίως χειμάζονται, εἶτα μέντοι γε ὡς τὸν Πλούτωνα καὶ τὴν Περσεφόνην παραχθέντες ἀλεωρῆς τυγχάνουσιν. ἐν δὲ τούτῳ ὁ μὲν τῶν μυστῶν χορὸς περὶ τοῦ τὴν πολιτείαν ἐξισῶσαι καὶ τοὺς ἀτίμους ἐντίμους ποιῆσαι χἀτέρων τινῶν πρὸς τὴν τῶν Ἀθηναίων πόλιν διαλέγεται. τὰ δὲ λοιπὰ τοῦ δράματος μονόκωλα, ἄλλως δὲ τερπνὴν καὶ φιλόλογον λαμβάνει σύστασιν. παρεισάγεται γὰρ Εὐριπίδης Αἰσχύλῳ περὶ τῆς τραγικῆς διαφερόμενος, τὸ μὲν ἔμπροσθεν Αἰσχύλου παρὰ τῷ Ἅιδῃ βραβεῖον ἔχοντος καὶ τὸν τραγῳδικὸν θρόνον, τότε δὲ Εὐριπίδου τῆς τιμῆς ἀντιποιησαμένου. συστήσαντος δὲ τοῦ Πλούτωνος αὐτοῖς τὸν Διόνυσον διακούειν, ἑκάτερος αὐτῶν λόγους πολλοὺς καὶ ποικίλους ποιεῖται, καὶ τέλος πάντα ἔλεγχον καὶ πᾶσαν βάσανον οὐκ ἀπιθάνως ἑκατέρου κατὰ τῆς θατέρου ποιήσεως προσάγοντος, κρίνας παρὰ προσδοκίαν ὁ Διόνυσος τὸν Αἰσχύλον νικᾶν, ἔχων αὐτὸν ὡς τοὺς ζῶντας ἀνέρχεται. [55]

arg ran 3 1 (50) τὸ δὲ δρᾶμα τῶν εὖ πάνυ καὶ φιλολόγως πεποιημένων. ἐδιδάχθη ἐπὶ Καλλίου τοῦ μετὰ Ἀντιγένη διὰ Φιλωνίδου εἰς Ληναῖα. πρῶτος ἦν· 〈δεύτεροσ〉 Φρύνιχος Μούσαις· Πλάτων τρίτος Κλεοφῶντι. οὕτω δὲ ἐθαυμάσθη τὸ δρᾶμα διὰ τὴν ἐν αὐτῷ παράβασιν, ὥστε καὶ ἀνεδιδάχθη, ὡς ἔφη Δικαίαρχος. ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ Ξανθίας· πανδοκεύτριαι δύο· Διόνυσος· ἑτέρα Πλαθάνη· Ἡρακλῆς· Αἰσχύλος· νεκρός· Εὐριπίδης· Χάρων· μυστῶν χορός· Αἰακός· χορὸς βατράχων παραχορήγημα· θεράπαινα Περσεφόνης. [5]

sch ran 1a εἴπω τι τῶν εἰωθότων : ὁ Διόνυσος μέλλων ἀφικέσθαι πρὸς τὴν Ἡρακλέους οἰκίαν, ἵν' ἐξ αὐτοῦ τὰ πρὸς τὴν Ἅιδου κάθοδον πάντα γνοίη σαφῶς, ἕνεκα τοῦ γελοίου τῷ ποιητῇ πλάττεται αὐτὸς μὲν αὐτοποδίᾳ βαδίζων, οἰκέτην δὲ μεθ' ἑαυτοῦ ἔχων Ξανθίαν, συμπορευόμενον ὄνῳ μὲν ἔποχον, ἑαυτοῦ δὲ τοῖς ὤμοις στρώματα καὶ ἀνάφορον ἔχοντα καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δυσφοροῦντα τῷ βάρει· ὃς τὸ λεγόμενον τῷ βάρει τοῦ φόρτου τὸν τῆς γαστρὸς φόρτον κινδυνεύων ἐκκρίνειν βούλεται μὲν ἀριδήλως καὶ προφανῶς τῷ Διονύσῳ τοῦτο εἰπεῖν, ἐκκλίνων δὲ ὡς φορτικὸν συμφανῶς τοῦτο εἰπεῖν, περιπλοκῆς δὲ σχήματι οὕτω φησίν· εἴπω τι τῶν ἐν τῇ κοινῇ συνηθείᾳ λεγομένων, ὦ δέσποτα, ἤ· τῶν εἰωθότων λέγεσθαί τε καὶ πράττεσθαι τοῖς ὑποκριταῖς τῶν νῦν κωμικῶν, (2) “ ἐ φ ’ οἷς ἀεὶ γελῶσιν οἱ θεώμενο ι ” ἤτοι οἱ θεαταί; εὐθύς, ὅ φασιν, ἐκ πρώτης βαλβίδος τοὺς κωμικοὺς ποιητὰς διαβάλλει, Φρύνιχον, Λύκιν καὶ Ἀμειψίαν, ὡς στρώματα φέροντας ἐν ταῖς κωμῳδίαις καὶ τοῖς δι’ αὐτὰ πιεσμοῖς φορτικὰ γελοιώδη λαλοῦντας, κινεῖν δὲ δυνάμενα πρὸς γέλωτα τοὺς ἀκροωμένους καὶ θεατάς. ἀπορία : ἐρεῖ δέ τις ἴσως· πῶς αὐτὸς ταῦτα ποιεῖ τοὺς ἄλλους αἰτιώμενος; διὰ ταῦτα, ὅτι αὐτὸς σχήματι μόνῳ ταῦτα ποιεῖ καὶ τὰ φορτικὰ τεθεραπευμένως καὶ μετριωτέρως φησίν, ἐκεῖνοι δὲ φορτηφοροῦσί τε βαρέως καὶ τὰ φορτικὰ φορτικῶς, καὶ πολλάκις ὡς γελῷεν οἱ ὀχλωδέστεροι φθέγγονται. ταῦτα μὲν οὕτως· ἐμοὶ δὲ τὸ μὲν δρᾶμα τοῦ Πλούτου καὶ αἱ Νεφέλαι καὶ ὅλα καὶ κατὰ μέρος ἐννοίαις καὶ εἰσβολαῖς καὶ ἐπιχειρήμασι καὶ ὅσοις ἄλλοις κωμῳδία συντίθεται, πάνυ δοκοῦσιν ἔχειν ἀρίστως, τὸ τῶν Νεφελῶν δὲ καὶ δαιμόνιον καὶ ἀμίμητον οἷον. τὸ νῦν δὲ τῶν Βατράχων οὔτε τῆς ἐννοίας, πλὴν μόνης τῆς περὶ τῶν πολιτῶν ἰσώσεως, αἰνῶ καὶ τὰς εἰσβολὰς καὶ πάντα οὐχὶ προσίεμαι, ἀγοραίας δὲ θυμέλης πάντα μακρηγορούσης δοκῶ, κινούσης βάναυσον γέλωτα, οὐ μὴν σοφῆς καὶ γονίμου κωμῳδίας κυήματα. τῶν εἰωθότων] τῶν κατὰ συνήθειαν λεγομένων.

sch ran 2 οἱ θεώμενοι] οἱ θεαταί· ἀττικὸν τὸ λαμβάνειν τὰς μετοχὰς ἀντὶ ὀνομάτων. νὴ τὸν Δ ί ’ ὅτι βούλει : λέγει τῷ Ξανθίᾳ Διόνυσος· λέγει, πλὴν τοῦτο μὴ εἴπῃς, ὅτι “ πιέζομα ι” · τοῦτο δὲ τὸ “πιέζομαι” φύλαξαι καὶ πρόσ(σ)χες μὴ λέγειν συνεχῶς—τὸ “ πάν υ ” γὰρ καὶ “πολύ” καὶ “συνεχές” ἐστίν—, ἢ ἔσται ἤδη χολὴ ἤτοι κινεῖ χολήν.

sch ran 3a ἤ· πάνυ γὰρ χολὴ καὶ ὀργή ἐστιν ἐμοὶ τὸ λέγειν σέ, ὅτι “πιέζομαι”. πλὴν] τοῦ.

sch ran 4a φύλαξαι] τὸ μὴ εἰπεῖν, ὅτι. γὰρ .

sch ran 4b .. χολή] ἐν σοί, ἐὰν εἴπῃς, ὅτι “πιέζομαι.” μη δ ’ ἕτερον ἀστεῖον : ὁ Ξανθίας φησίν· μηδ’ ἕτερον γελοιῶδες εἴπω; καὶ ὁ Διόνυσός φησιν ἐλλιπῶς· ναί, πάντα λέγε, πλὴν μόνον γέ μοι τὸ “ ὡς θλίβομα ι” .

sch ran 5a καὶ πάλιν ὁ Ξανθίας· τί δαί; τὸ πάνυ γελοιότατον εἴπω; καὶ ὁ (6) Διόνυσός φησιν· ναὶ μὰ τὸν Δία, θαρρῶν γε—λείπει τὸ “λέγε”—μόνον ἐκεῖνο ὅπως καὶ πῶς μὴ ’ρεῖς καὶ ἐρεῖς. καὶ ὁ Ξανθίας· τὸ τί μὴ ἐρῶ; καὶ (8) πάλιν ὁ Διόνυσος· ὅτι χεζητιᾷς καὶ μέλλεις ἀποπατεῖν μεταβαλλόμενος καὶ μεταφέρων ἀεὶ καὶ μεταλλάσσων ἐξ ὤμου εἰς ὦμον τὸ ἀνάφορον καὶ ἄνω (9) τῶν ὤμων βασταζόμενον. πρὸς ὃ Ξανθίας· μηδὲ τοῦτο ἐρῶ, ὅτι τόσον βάρος βαστάζων ἐπὶ τῶν ὤμων, εἰ μὴ καθαιρήσει καὶ καταβάλῃ καὶ ῥίψει τις, τυφωνικὸν πνεύσαιμι τῶν ἐγγαστρίων; ὁρᾷς εἰσβολὴν ἀγοραίαν δράματος καὶ φλυαρίαν, εἴ που ἑτέρωσε τοῦτο εὗρον· αὐτὸς δὲ οὐ συνόλως εἶναι Ἀριστοφάνους ἂν ὑπετόπασα, οὐδ’ ἴκταρ βαίνειν Ἀριστοφάνους μιμήσεως, πολὺ δέ, πολὺ αὐτῆς ἀποτρέχειν. ὡς θλίβομαι] εἴ τι βούλει.

sch ran 7 ὅπως] σκόπει. μεταβαλλόμενος] μεταθείς, μεταφέρων, μεταλλάσσων.

sch ran 8b τἀνάφορον] τὸ βασταζόμενον ἄνω τῶν ὤμων ἀλλακτόν. ἐφετικὰ ῥήματα.

sch ran 9 μηδ’ ... τοσοῦτον] μηδὲ τοῦτο ἐρῶ. καθαιρήσει] καταβιβάσει.

sch ran 11a μὴ δῆ θ’ , ἱκετεύω : μὴ δῆτα ἐρεῖς, δέομαι, αὐτὸ τοῦτο, ὃ εἴρηκας, μή πως ἀκούσας ἀηδισθεὶς ἐμέσω, ἀλλ’ ὅτε χρείαν ἔχω ἐμέτου, τότε μοι τοῦτο λέγε. δῆθ’] ἐρεῖς.

sch ran 11c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλήν … ἐξεμεῖν] χρείαν ἔχω τοῦ ἐμέσαι ἀηδισθείς. ὧνπερ Φρύνιχος : Φρύνιχος ἦν πρὸ Αἰσχύλου τραγῳδίας ποιητὴς ἄριστος· νῦν δὲ τὸν κωμικὸν κωμῳδεῖ Φρύνιχον, καὶ Λύκιν καὶ Ἀμειψίαν, περὶ ὧν ἔφθασα προειπεῖν.

sch ran 13 ἦν δὲ ὁ Φρύνιχος οὗτος πατρὸς Εὐνομίδου, κωμῳδεῖται δὲ ὡς ξένος καὶ ποιητὴς φαῦλος καὶ ὡς ἀλλότρια λέγων καὶ κακονούστατα. εἰσὶ δὲ καὶ ἕτεροι Φρύνιχοι δύο. σκευηφοροῦσι : τριχῶς τουτὶ γράφεται· “σκευοφοροῦσι”, “σκεύη φοροῦσι”, “σκεύη φέρουσι”.

sch ran 15a ὁ δὲ νοῦς· οὗτοι ἄνδρας φορτηφοροῦντας εἰσφέρουσι ταῖς κωμῳδίαις. σκεύη] οἵ.

sch ran 15c ἐν κωμῳδίᾳ] ἤγουν τῇ σκηνῇ. μὴ νῦν ποιήσῃς , ὡς ἐγὼ θεώμενος : μὴ καὶ σὺ κατ’ ἐκείνους ποιήσῃς, ὃ λέγεις ἐκ τοῦ δῆθεν φορτηφορεῖν, ὡς οἱ ἐκείνων ὑποκριταί· ὡς ἐγὼ (17) θεώμενος καὶ ὁρῶν, ὅταν ἴδω τι τούτων τῶν σοφισμάτων, ἢ τῶν σοφῶν μιμημάτων εἰρωνικῶς, ἢ τῶν σοφισμάτων καὶ ἀπατηλῶν τούτων ποιημάτων, (18) πλεῖν καὶ πλέον ἢ ἐνιαυτῷ πρεσβύτερος ἀπέρχομαι, ἤτοι τῇ αὐτῇ ἡμέρᾳ καὶ μιᾷ πλέον γηρῶν ἐξ ἀγανακτήσεως, παρὸ ἔμελλον γηράσαι ὁλοκλήρῳ ἐνιαυτῷ.

sch ran 17 τῶν σοφισμάτων] καὶ ἀπατηλῶν ποιημάτων. πλεῖν] πλέον.

sch ran 19 ὦ τρισκακόδαιμον : οὗτος μέν, ὥς φησι, τῇ τούτων ἀηδίᾳ μιᾷ ἡμέρᾳ γῆρας γηράσκων πλεῖον ὁλοκλήρου ἐνιαυτοῦ ἀπέρχεται· ἐγὼ δὲ νῦν τῇ τούτου ψυχρολογίᾳ, καίπερ καὶ ταῖς διαίταις καὶ τοῖς ποτοῖς καὶ πᾶσιν ἄλλοις τοιούτοις φιλοψυχρότατος ὢν καὶ ταῦτα γράφων περὶ τὸ διακαέστατον τῶν καιρῶν, τὴν μέσην ὥραν φημὶ τὴν τῆς ἐπιτολῆς τοῦ Κυνός, ὡς περὶ μέσην ὥραν χειμέριον περὶ Μαιῶτιν ὁδεύων καὶ τοῦ σκυθίου Ταύρου τοὺς “κρυσταλλόπηγας” πρόποδας, αἷμα τὸ περικάρδιον ἤδη ἐναποψύχομαι καὶ κρυσταλωθέντες οἱ δάκτυλοι γράφειν μοι ἐπεσχέθησαν· τοσοῦτον ἐνταῦθα τὸ περιὸν τῷ ἀνδρὶ τῆς ψυχρότητος οὐ συνίημί τι πεπονθότι. ἀλλὰ τὸ “ ὦ τρισκακόδαιμο ν ” πάλιν ἀναληπτέον μοι. νῦν σχετλιάζει δυσφορῶν ὁ Ξανθίας, καί· ἆρα ὁ τράχηλος ούτοσί, φησί, θλίβεται τοῖς φορτίοις, ἤτοι ἐγώ, οὐκ ἐρεῖ δὲ τὸ γελοῖον; τὸ δὲ] ἔστω.

sch ran 20b ἐρεῖ] ἵν’ εἴπῃ. καὶ ὁ Διόνυσος· εἶτ’ οὐχ ὕβρις, τουτέστι καὶ ἀλαζονεία, φησί, καὶ πολλὴ τρυφὴ καὶ ἅπερ πάνυ μειρακιώδη καὶ ἀγοραῖα καὶ κάπηλα καὶ ψυχρότατα (22) τάδε, φησίν, ὅτι ἐγὼ ὁ Διόνυσος, υἱὸς Σταμνίου ὤν, ὡς οἶνος καὶ περιεχόμενος τῷ σταμνίῳ, αὐτὸς βαδίζω αὐτοποδίᾳ καὶ πονῶ καὶ κόπους (23) ὑφίσταμαι, τοῦτον δὲ ὀχῶ καὶ ἐποχούμενον, ὄνῳ φερόμενον, ἄγω, ἵνα μὴ ταλαιπωροῖτο καὶ κοπιᾷ μηδ’ ἄχθος μηδὲ φορτίον φέροι; ὕβρις] ἀλαζονεία.

sch ran 21c τρυφή] ἔπαρσις. ὀχῶ] καβαλλάριον ποιῶ.

sch ran 24 ταλαιπωροῖτο] ἤγουν κοπιᾷ. οὐ γὰρ φέρω ’γ ώ; : τοῦ Διονύσου εἰπόντος· ἐπ’ ὄνου ὀχούμενον ἄγω τοῦτον, ἵνα μὴ ταλαιπωροῖτο μηδὲ φορτίον μηδ’ ἄχθος φέροι, φησὶν ὁ Ξανθίας, ἐπ’ ὄνου μὲν ἐποχούμενος, τοῖς ὤμοις δὲ φέρων τὰ σκεύη· οὐ γὰρ φέρω ἐγώ; καὶ ὁ Διόνυσος· πῶς φέρεις καὶ βαστάζεις, ὅστις ὀχῇ καὶ βαστάζῃ ὑπὸ τοῦ (26) ὄνου; καὶ ὁ Ξανθίας· πῶς φέρω, λέγεις; ὡς φέρων καὶ βαστάζων ταῦτα.

sch ran 25a τίνα τρόπον, φησί, βαστάζεις ταῦτα, ἤτοι ἐποχούμενος ὄνῳ πῶς βαστάζεις (27) αὐτά; καὶ ὁ Ξανθίας· βαρέως πάνυ. καὶ ὁ Διόνυσος· οὔκουν καὶ οὐχὶ τὸ βάρος, ὅπερ φέρεις σὺ καὶ βαστάζεις, φέρει ὁ ὄνος, ὡς βαστάζων σέ; καὶ ἅμα τῷ φαινομένῳ φησί· τὰ στρώματα, ἃ βαστάζεις σύ, καὶ τὸ τούτων βάρος, ἐσχηματισμένως δὲ τὸ βάρος τῶν διδύμων· ἤτοι τὸ βάρος τῶν στρωμάτων (28) καὶ τῶν σῶν διδύμων τὸ βάρος οὐ φέρει καὶ βαστάζει ὁ ὄνος; καὶ ὁ Ξανθίας· οὔ μὰ τὸν Δία, πρὸς ἀμφοτέραν φησὶ τὴν διάνοιαν· οὐχὶ ὁ ὄνος φέρει, ὃ ἐγὼ φέρω βάρος. νῦν οἱ παλαιοί φασι καὶ καλῶς ἄρα· (29) “τινὲς εἰς τὸ “φέρω” δύο στιγμὰς ποιοῦσι”. πῶς γὰρ φέρεις, φησὶν ὁ Διόνυσος, ὃς ὑφ’ ἑτέρου φέρει; ὁρᾷς ἄκαιρον φλυαρίαν· καὶ ἀνωτέρω γὰρ ἄνωθεν τοῦτο εἶπε· “πῶς φέρεις, ὅς γ’ ὀχεῖ”; τέως γοῦν τοῦ Διονύσου εἰπόντος· (30) πῶς λέγεις φέρειν φερόμενος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑφ’ ἑτέρου; οὐκ οἶδα, φησὶν ὁ Ξανθίας· (31) ὁ δ’ ὦμος οὑτοσὶ πιέζεται. καὶ πάλιν πρὸς αὐτὸν ὁ Διόνυσος· ἐπεὶ λέγεις (32) μὴ ὠφελεῖν σε τὸν ὄνον, ἐν τῷ μέρει καὶ ἐκ μέρους καὶ ἀκαριαίᾳ χρόνου (33) ῥοπῇ ἄρας σὺ τὸν ὄνον βάσταξον. καὶ ὁ Ξανθίας φησίν· οἴμοι ὁ κακοδαίμων, ὅτι δύο μεθύσοις ἐνέτυχον παραληροῦσι νυνί, Διονύσῳ καὶ κωμικῷ ποιητῇ. τί γὰρ οὐκ ἐναυμάχουν; εἰ γὰρ ἐναυμάχησα, ἢ κατὰ τοὺς παλαιοὺς ἐν τῇ περὶ Ἀργιννούσαις κατὰ Λακώνων ναυμαχίᾳ, ἢ κατὰ Τζέτζην περὶ τὴν Σαλαμῖνα κατὰ Περσῶν, ἐλευθερωθεὶς γάρ, ὡς καὶ πάντες οἱ Ἀθηναίοις συνναυμαχήσαντες (34) δοῦλοι, ἦ τἂν καὶ ὄντως ἂν ἐκέλευον σὲ μακρὰ καὶ μεγάλα κωκύειν Σαλαμῖνι περιών, καὶ παραληροῦντί σοι τόσῳ οὐκ ἂν οὔτ’ ἠχθηφόρουν ἄχθος καταγέλαστον καὶ ἀγοραῖον οὔτ’ ἂν συνόλως ἐπείσθην σοι. φέρω] βαστάζω.

sch ran 25c ὀχεῖ] ἱππεύεις. τίνα] κατά.

sch ran 26b τίνα τρόπον] λέγεις βαστάζειν. ἐσχηματισμένως τῶν σῶν διδύμων καὶ τῶν στρωμάτων.

sch ran 28 οὐ] φέρει ὁ ὄνος. ἐν ταῖς περὶ Ἀργινούσαις κατὰ Λακώνων ναυμαχίᾳ ἢ περὶ Σαλαμῖνα κατὰ Περσῶν οἱ ναυμαχήσαντες πάντες δοῦλοι ἐλεύθεροι.

sch ran 34a ἦ] ὄντως. μακρά] μεγάλα.

sch ran 35a κατάβα πανοῦργε : “κατάβηθι” λέγεται. τὸ χ δὲ γράφεται, ὅτι οὗτος ξενοτέρως ἀντὶ τοῦ “κατάβηθι” “ κατάβ α ” εἶπεν. ὁ δὲ Τζέτζης δωρικῶς φησι “κατάβαθι”· οἱ γὰρ Δωριεῖς “κατάβαθι” λέγουσι καὶ ἀποκοπῇ “κατάβα”· ὥσπερ ὁ Βελλεροφῶν Πελοποννασαστὶ λαλεῦμες. κατάβα] δωρικῶς.

sch ran 37a παιδίον , παῖ , ἠμί , παῖ : ὁ Διόνυσος κόπτει καὶ πλήττει τὴν θύραν Ἡρακλέος καὶ καλεῖ τινα δοῦλον ἐξελθεῖν Ἡρακλέα· παῖς γὰρ καὶ ὁ υἱός, κυριωτέρως δὲ ὁ δοῦλος. ἀσυντηρήτου δὲ τῆς πληγῆς γεγονυίας Ἡρακλῆς (38) εἰθισμένος γίγασι πολεμεῖν καὶ κενταύροις· κενταυρικῶς τις, φησί, τὴν θύραν ἐπάταξεν ἀκόσμως. ὁ Διόνυσος δ’ ἔτι ἑστὼς ἔξω ἀκούσας τοῦδε τοῦ (40) ῥήματός φησι τῷ Ξανθίᾳ· ὁ παῖς—ἀντὶ τοῦ “ὦ παῖ Ξανθία”—, ἐνεθυμήθης καὶ νενόηκας, ὡς πάνυ ἐμὲ ὁ Ἡρακλῆς ἐπτοήθη; καὶ ὁ Ξανθίας ἢ (41) ἐπιτιμῶν αὐτῷ φησι· σίγα, μὴ μαίνοιο, ἤ· ἐφοβήθη σε, μὴ ἄρα μανικῷ κατάσχετος εἶ τῷ νοσήματι. ἐξιὼν δὲ ὁ Ἡρακλῆς καὶ οὕτως ἰδὼν ἐστολισμένον (42) δάκνει τὰ χείλη, μὴ γελᾶν δ’ οὐκ ἰσχύει. τραπέσθαι] ἐλθεῖν.

sch ran 38 κενταυρικῶς] ἰσχυρῶς. ὅστις] ὑπάρχεις.

sch ran 40a ὁ παῖς] “ὦ παῖ” ἀττικῶς. οὐκ ἐνεθυμήθης] οὐκ ἤκουσας.

sch ran 41a σφόδρα μ’ ἔδεισε] ἐφοβήθη ὁ Ἡρακλῆς. μὴ μαίνοιό γε] μὴ μαίνου.

sch ran 41c Δία] τόν. δάκνω] κρατῶ.

sch ran 44a δαιμόνιε] εὐτυχέστατε. τί] κατά.

sch ran 45a οἷος] δυνατός. εἶμ’] εἰμί.

sch ran 46a ὁρῶν λεοντὴν ἐπὶ κροκωτῷ : ὁ Διόνυσος ὡς μέλλων ἐς Ἅιδου κατεληλυθέναι κατὰ μίμησιν Ἡρακλέους ἐνδύεται μὲν λεοντήν, λαμβάνει καὶ ῥόπαλον, φορεῖ δὲ καὶ στολὴν τὴν διονυσιακὴν τὴν θηλυπρεπῆ τε καὶ ἔκλυτον, κροκωτόν, ποικίλον ἱμάτιον, οὐ στρατιώταις οἰκεῖον, ἀργοῖς δὲ καὶ τρυφῶσι καὶ πλέον γυναιξίν, ἀνειμένον, καὶ κόθορνον, ἀμφοτεροδέξιον ἐπαμφοτερίζον ὑπόδημα καὶ προσφυέστατον ἀμφοτέροις ποσίν, ὁποῖα νῦν ἱερουργοῦντες οἱ κοσμιώτεροι θυηπόλοι ὑποδιδύσκονται· ὅθεν καὶ Θηραμένης, εἷς τῶν τυράννων ὢν τῶν τριάκοντα, μαθητὴς δὲ γεγονὼς Εὐριπίδου, ἐλέγετο κόθορνος, ὡς ἀναρριπίζων κατὰ τοῦ δήμου μὲν τοὺς τριάκοντα, κατὰ τούτων δὲ τῶν τυράννων τὸν δῆμον. λεοντῆν] τήν.

sch ran 46c κροκωτῷ] ποικίλῳ ἱματίῳ ἐπάνω κοκκίνῳ. κροκωτῷ] τῷ.

sch ran 47a

κόθορνος ἀπὸ τοῦ κεῖσθαι ὀρθῶς ἀμφοτέροις τοῖς ποσίν. τίς ὁ νοῦς : ἤτοι ποίᾳ διανοίᾳ καὶ τί βουλευόμενος τὴν σύνθετον ἔσχες ταύτην στολὴν τὴν διονυσοηράκλειον, μᾶλλον δὲ τὴν ἱματιοκένταυρον; καὶ ῥόπαλον] καὶ τό.

sch ran 47d ξυνηλθέτην] συνῆλθον. ἐπεβάτευον Κλεισθένει : ὁ Κλεισθένης οὗτος ἦν υἱὸς Σιβυρτίου λεῖον τὸ γένειον ἔχων, λεῖος τὸ γένειον, ἐπ’ αἰσχρότητι καὶ πασχητίᾳ κωμῳδούμενος.

sch ran 48a νῦν οὖν εἰς τοῦτο τὸν ἄνθρωπον λοιδορεῖν κωμῳδεῖν θέλων ἐπαμφοτεριζούσας εἰσφέρει εἰσφορεῖ καὶ τὰς λέξεις· νεωστὶ γὰρ αὐτοῦ στρατηγήσαντος καὶ ναυμαχίᾳ νικήσαντος εἰσφέρει τὸν Διόνυσον τῷ μὲν φαινομένῳ πρὸς Ἡρακλέα ταδὶ λέγοντα· στρατηγοῦντος Κλεισθένους τῇ κατὰ στόλον μάχῃ κἀγὼ ἐπεβάτευον αὐτῷ ἤγουν (49) τῶν ἐπιβατῶν εἷς ἦν, καὶ νενικήκαμεν τῇ ναυμαχίᾳ ἢ δώδεκα ἢ τρισκαίδεκα (52) τῶν ἐναντίων βυθίσαντες ναῦς. ἐν τῇ τριήρει γοῦν ἀναγινώσκοντί μοι τὴν Ἀνδρομέδαν κατέσχε με πόθος ἄρρητος Εὐριπίδου, καὶ κατεπίθυμος ἐκείνου τόσον γενόμενος κατελθεῖν ἐθέλω πρὸς Ἅιδην καὶ τοῦτον ἀνενεγκεῖν. (71) δέομαι γὰρ δεξιοῦ ποιητοῦ· οἱ μὲν γὰρ τεθνήκασιν, οἱ δὲ ζῶντες νῦν ὄντες φαυλότατοι. οὗτος ὁ νοῦς τοῦ λόγου ἐστὶν ὁ μὴ κρυπτόμενος ἤτοι ὁ νῦν φαινόμενος· τὸ δὲ κρυπτόμενον, τῷ σχήματι δὲ δηλούμενον, νοεῖν ἐστιν αἰσχρῶς τὸ ἐπιβατεύειν, ὃ λέγεται μεταφορικῶς ἀπὸ τῶν ἀλόγων, ἃ συνουσιάζει ἐπαναβαίνοντα. οὗτος μέν ἐστιν ὁ τοῦ λόγου πᾶς νοῦς· ἤδη δὲ καὶ τῶν κατὰ μέρος λεκτέον μοι τὰ κεχρημένα ἐπεξηγήσεως. ἐπεβάτευον] ἔπλεον. [15]

sch ran 48b συνεγενόμην. Κλεισθένει] σὺν τῷ ἢ διὰ τοῦ.

sch ran 51a σφῶ σφῶε καὶ ὑμεῖς, φησὶν ὁ Ἡρακλῆς, κατεδύσατε τριήρεις πολεμίων; καὶ ὁ Διόνυσος· νὴ τὸν Ἀπόλλω. καὶ πάλιν ὁ Ἡρακλῆς· κᾆτ’ ἔγωγ’ ἐξεγειρόμην ἐξηγρόμην διαγελῶν δῆθεν, ὅτι νενικήκασι ναυμαχίᾳ. ὡσεὶ ὀνείροις τοῦτο εἶδον, φησίν· ὑμεῖς μὲν ὀνείροις νενικήκατε ναυμαχοῦντες, καὶ ἔγωγε ἀνιστάμην τοῦ ὕπνου. σφῷ] ὑμεῖς τὸ ποιήσατε; ἐξηγρόμην] ἀπὸ τοῦ ὕπνου.

sch ran 52 ἀναγινώσκοντί] ἀναμιμνῃσκομένῳ. ἐπάταξε] ἐκίνησε.

sch ran 54b πῶς οἴει] θαυμαστικόν. σμικρὸς ἡλίκος Μόλων : δύο Μόλωνες ἦσαν, ὁ λωποδύτης τὸ σῶμα βραχύς, καὶ ὁ ὑποκριτής, περὶ οὗ φησι νῦν· ἦν γὰρ πάνυ μέγας τῇ ἡλικίᾳ.

sch ran 55b ἡλίκος] οἷος. ἰαταταὶ : ἰατταταῖ : ἀκούσας ὁ Διόνυσος ἐρωτώμενος, εἰ ἀνδρὸς ἠράσθη, σχετλιάζων οὕτω φησί.

sch ran 57 καὶ ὁ Ἡρακλῆς πάλιν· ἆρα συνεγένου τῷ Κλεισθένει; “συγγενέσθαι” τὸ σεμνὸν “συνδιάγειν, συλλαλεῖν”. οὐ γὰρ ἀλ λ ’ ἔχω κακῶς : ἀντὶ τοῦ “καὶ γὰρ ἔχω κακῶς”.

sch ran 58 ὁ δὲ “ἀλλά” παρέλκει ἀττικῶς. διαλυμαίνεται] βλάπτει.

sch ran 62a ἐπεθύμησας ἐξαίφνης ἔτνους : δι’ αἰνίγματος δῆθεν ἐμφαίνει τὸ περιττὸν τοῦ πόθου. “ἔτνος” δὲ αὐτός—οὐκ ἀποκρύψω ὑμῖν—τοὺς ἐρεικτοὺς κυάμους εἶναι ἐδόκουν· νῦν δὲ ἐφεῦρον, ὡς ἔτνος καλεῖται τὸ πισσινοῦν ὄσπριον. εἰ δέ τις καὶ τί ὁ πίσσος τὸ ὄσπριον ἐθέλει μαθεῖν, ἴστω τουτὶ ὡς τὸ παρ’ ἰδιώταις καλούμενον “αὖχος” ἐστί, καὶ οὐχ, ὥσπερ ἐγὼ καὶ περὶ τούτου φαύλως ἐνόμιζον, πίσσον καλῶν τὴν γυμνὴν καὶ τετριμμένην κέγχρον. τὴν μέχρι δὲ καὶ νῦν ἀγοραίαν καὶ φλύαρον ἀπεραντολογίαν τοῦ κωμικοῦ οὐχ οἷος ἔτι φέρειν εἰμί. ἔτνους] ὁ λεγόμενος ὦχος ἤτοι πίσσος. [5]

sch ran 64a ἆ ρ ’ ἐκδιδάσκω τὸ σαφὲς : ἆρα, φησὶ τῷ Ἡρακλεῖ ὁ Διόνυσος, ἔγνως σαφῶς ἐκ τοῦ αἰνίγματος, οὗ παρεθέμην σοι, τὸ διάπυρον οὗ ἔχω πόθου; ἐκδιδάσκω] λέγω τοῦτο, παριστάνω.

sch ran 65 μανθάνω] γινώσκω. πείσειεν] πείσει.

sch ran 68b οὐκ] ἀττικὸν παρέλκον. ἐπ’] εἰς.

sch ran 72a οὐκέτ’ εἰσὶν] θάνον οἱ ἀγαθοί. ὄντες κακοί] ἐνταυθοῖ εἰσιν ἀμαθέστατοι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ran 73a τοῦτο γάρ τοι καὶ μόνον : ὁ Ἰοφῶν οὗτος υἱὸς ὢν Σοφοκλέους ἠγωνίσατο καὶ ἐνίκησεν λαμπρῶς ἔτι ζῶντος τοῦ πατρὸς αὐτοῦ· διὸ ὑποπτεύει, μὴ ἄρα Σοφοκλέους ἦν τὸ ἀγωνισθέν. ἀναγνωσθέν. υἱὸς ἦν Σοφοκλέους, ὃς δόκησιν παρεῖχεν, ὅτι τοῖς τοῦ πατρὸς ἐχρῆτο ποιήμασιν ὡς οἰκείοις.

sch ran 74a λοιπὸν] ἐπίλοιπον. τοῦτ’ ἄρα] ἀμφίβολον.

sch ran 76a Σοφοκλέα] τόν. Εὐριπίδου] τοῦ.

sch ran 77 ἄγειν] τινὰ ποιητήν. οὔ , πρίν γ ’ ἂν Ἰοφῶντα : εἰπόντος Διονύσῳ τοῦ Ἡρακλέους· εἴπερ ἐκεῖθεν ἐκεῖθε καὶ ἀπὸ τοῦ Ἅιδου δεῖ καὶ χρεία ἐστὶν ἀγαγεῖν τῶν τεθνηκότων τινὰ ποιητῶν, πῶς οὐ μέλλεις ἀνάγειν τὸν Σοφοκλέα; φησὶν ὁ Διόνυσος· οὐκ ἀνάξω τὸν Σοφοκλέα, πρὶν ἄνευ Σοφοκλέους Ἰοφῶντα τὸν υἱὸν αὐτοῦ μόνον κωδωνίσω καὶ δοκιμάσω, εἰ τὰ ποιήματα, ἃ διδάσκει, αὐτοῦ εἰσι καὶ οὐχὶ τοῦ πατρὸς αὐτοῦ Σοφοκλέους. [5]

sch ran 78a ὑπωπτεύετο γὰρ οὗτος τὰ τοῦ πατρὸς λέγειν· ἦν δὲ τῇ ἡλικίᾳ μακρὸς καὶ τὴν φύσιν ὑπόψυχρος. τὸ “ κωδωνίσ ω ” δὲ τὸ “δοκιμάσω” μεταφορικῶς ἢ ἀπὸ τῶν κεραμεῶν ἀγγείων, ἃ δοκιμαζόμενα τῷ κρούεσθαι ὑγιᾶ πεφυκότα ἠχεῖ δίκην κώδωνος, ἢ ἀπό τινων ὀρνέων καὶ ἵππων δοκιμαζομένων ἤχῳ κωδώνων· τὰ μὲν γὰρ τούτων γενναῖα γενναίως φέρει τοὺς ἤχους, τὰ δὲ δειλὰ καὶ πτοιαλέα πεφρίκασιν. καὶ ταῦτα μὲν ἰδιωτικώτερά τε καὶ γνωριμώτερα· τὸ δ’ ἀληθὲς καὶ κατὰ τὴν φύσιν τοῦ πράγματος τὸ “κωδωνίσω” λέξις ἐστὶ στρατηγικὴ τροπική· οἱ στρατηγοὶ γὰρ καὶ στρατοπεδείαις ὑπαίθροις καὶ ταῖς φρουραῖς δὲ τῶν πόλεων κώδωνας ἐξαρτῶσι λεπτοῖς μίτοις ἀπῃωρημένους ἐκ διαστήματος, καὶ οὕτω θηρῶσιν ἐπ’ ἀμφοτέρων κατασκόπους πολεμίων ἢ καὶ προδότας, ἐν μὲν ταῖς ὑπαίθροις στρατοπεδείαις ἡμέρας ἔτι τελούσης διὰ κηρύκων πάσῃ προμαρτυρόμενοι στρατιᾷ ὑπηρετικῇ τε καὶ μαχίμῳ· “πᾶς ἢ τροφῆς ὑποζυγίων ἢ ἑτέρου χρείαν ἔχων τινὸς ἔτι οὔσης ἡμέρας καὶ χόρτον συλλεξάτω καὶ τὰ χρειώδη· ὃς δ’ ἂν περὶ τὴν νῦν ἑσπέραν ἁλῷ τὸν χάρακα περιπορευόμενος τὴν κεφαλὴν τῷ ξίφει ἀποτμηθήσεται”. οὕτω λοιπὸν ἠρεμούσης τῆς στρατιᾶς πάσης, ἄν τις ἐπέλθῃ κατάσκοπος, προσκρούει τοῖς κώδωσι καὶ γεγονότος ἤχου κατέχεται τοῖς φρουροῖς· κἀπὶ τοῦ τείχους τῆς πόλεως εἴ τις ἐπαναβαίη λαθών, οὕτως ἁλίσκεται, κἂν καὶ τῶν τῆς πόλεώς τινες συνήργουν αὐτοῖς εἰς προδοσίαν τῆς πόλεως. Ἰοφῶντ’] τόν. [25]

sch ran 78c ἀπολαβὼν] κρατήσας. κωδωνίσω] δοκιμάσω.

sch ran 82a ὁ δ’] Σοφοκλῆς. εὔκολος] ἄπλαστος· ἁπλοῦς.

sch ran 83a Ἀγάθων δὲ ποῦ ἐστιν : ὁ Ἀγάθων οὗτος ἦν δεξιὸς ποιητὴς κωμῳδίας, ἀγαθὸς τὸν τρόπον καὶ Σωκράτους διδάσκαλος, ἀνὴρ λαμπροτράπεζος. λέγεται δέ, ὅτι καὶ Πλάτωνος ὁ συμποσιακὸς λόγος ἐπὶ τῇ ἑστιάσει τῇ τούτου ἐγράφη, αὐτοῦ τε καὶ πολλῶν φιλοσόφων συνεστιαθέντων τῷ Πλάτωνι. Ἀγάθων] ὁ.

sch ran 85 ἐς μακάρων εὐωχίαν : ἤτοι τεθνηκὼς περὶ τὰς μακάρων ἐστὶ νήσους, ἃς Ἕλληνες περὶ χώραν Βρεττίαν εἶναι νομίζουσι κειμένας περὶ τὰ βόρεια τοῦ ἑσπερίου ὠκεανοῦ. ὑπεμφαίνει δὲ καὶ τὸ ἁβροεύωχον τοῦ ἀνδρός· ἢ ὅτι Ἀρχελάῳ τῷ βασιλεῖ Μακεδόνων μετ’ ἄλλων πολλῶν μέχρι καὶ τέλους συνῆν εὐωχούμενος. Ξενοκλῆς : ὁ Ξενοκλῆς οὗτος υἱὸς ἦν Καρκίνου, τραγῳδίας ποιητής· ἀδελφοὶ δὲ αὐτοῦ Ξενότιμος καὶ Δημότιμος, ὑποκριταὶ ὀξυφωνότατοι, οἳ καὶ Καρκίνου δαίμονες ἐλέγοντο.

sch ran 86a ὁ ῥηθεὶς δὲ αὐτῶν ἀδελφὸς Ξενοκλῆς λέγεται ἀλληγορικῶς καὶ ἀνήδυντος εἶναι περὶ τὴν ποίησιν. οἱ μνημονευόμενοι δὲ τρεῖς ἦσαν Ξενοκλεῖς, δύο μὲν τραγικοί, ἕτερος δὲ πολιτικός τε καὶ ῥήτωρ, Φαΰλλου υἱὸς Χολαργεὺς τὸν δῆμον. τῶν δήμων. 86 p. [5]

sch ran 86b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

i.m.] υἱὸς ἦν Καρκίνου, τραγῳδίας ποιητής· ἀδελφὸς δὲ Ξενοτίμου καὶ Δημοτίμου, οἳ δαίμονες Καρκίνου ἐλέγοντο. Πυθάγγελος : οὗτος τραγῳδίας ἦν ποιητὴς φαῦλος καὶ ἄσημος.

sch ran 87b ἐμοῦ ... λόγος] ὡς δοῦλον οὐκ ἀπολογοῦνται. οὐκοῦν] περισσόν.

sch ran 90 ποιοῦντα] ποιήσεις γράφοντα. Εὐριπίδου πλεῖν : λαλίστερα καὶ φλυαρώτερα καὶ στωμυλώτερα Εὐριπίδου πλεῖν καὶ πλέον ἢ σταδίῳ καὶ τετρακοσίων πηχῶν.

sch ran 91b Εὐριπίδου] τοῦ. ⎧ σταδίου] σταδίῳ.

sch ran 91c ⎨ ⎩ σταδίῳ] σταδίου. ⎧ σταδίου ⎫ ⎨ ⎬ ] στάδιον.

sch ran 91d ⎩ σταδίῳ ⎭ λαλίστερα] ἀφυέστερα, φλυαρώτερα.

sch ran 92a ἐπιφυλλίδες : ἐπιφυλλίδες εἰσὶ τὰ μικρότατα πάνυ τῶν σταφυλῶν βοτρυδίσκια, ὡς δυνάμενα ῥᾳδίως φύλλοις καλύπτεσθαι· ἢ τὰ πρὸς αὐτοῖς τοῖς φύλλοις κρεμάμενα. στωμύλματα] φλυαρήματα.

sch ran 93a χελιδόνων μουσεῖα : βάρβαρα καὶ στωμύλα, ὀχλώδη, πολύγλωσσα, ἀτερπῆ Μοῦσαν ἔχοντα καὶ συγγραφὰς λόγων, ὡς ἀτερπεῖς καὶ θορυβώδεις εἰσὶν αἱ τῶν χελιδόνων φωναί, οὐ κατὰ κύκνον δὲ ἢ ἀηδόνα φθεγγόμεναι τερπνὰ μέλη καὶ γλυκύτατα ἢ λιγυρώτατα. λωβηταὶ τέχνης : διαφθορεῖς καὶ ἀφανισταὶ τῶν τεχνῶν· λέγει δὲ τῆς τραγῳδίας καὶ κωμικῆς.

sch ran 93c μουσεῖα] ὀχλήσεις. λωβηταὶ] ἀφανισταί, φθορεῖς.

sch ran 94a ἃ φροῦδα θᾶττο ν: ἃ μειρακύλλια νῦν τὴν ποιητικὴν μετιόντα φροῦδα καὶ ἀφανῆ θᾶττον—λείπει τὸ “γίνεται”—ἅπαξ προσουρήσαντα καὶ εὐθυδρομήσαντα τῇ τραγῳδίᾳ. ἢν μόνον χορὸν λάβῃ : ἐὰν μόνον τραγῳδίας κληθῶσι διδάσκαλοι καὶ χορευτὰς λάβωσιν.

sch ran 94c θᾶττον] γίνεται. μόνον] ἕνα.

sch ran 94e λάβῃ] λάβωσιν. ἅπαξ προσουρήσαντα] εὐθυδρομήσαντα, εὐδοκιμήσαντα.

sch ran 95b τῇ τραγῳδίᾳ] ἐν τῇ σκηνῇ. γόνιμον : γενναῖον καὶ πόριμον καὶ στερρὸν ποιητὴν οὐκ ἂν εὕροις ζητῶν, ὅστις ἂν λάκοι καὶ εἴποι ῥῆμα γενναῖον.

sch ran 96b γόνιμον] ἔντονον, φυσικόν. λάκοι : τὸ “λάκοι” πρὸς διασυρμόν φησιν Εὐριπίδου· ἐν Ὀρέστῃ γάρ φησιν Εὐριπίδης· ἔλακεν ἔλακεν.

sch ran 97b λάκοι] ἢ λάβοι. παρακεκινδυνευμένον : κινδύνῳ καὶ πολλῷ τῷ πόνῳ ἐφευρημένον· ἤτοι ξενοπρεπές.

sch ran 99b παρακεκινδυνευμένον] ὑψηλόν. κἀνταῦθα διασύρει μάτην τὸν Εὐριπίδην, οὐχ ὡς ἡμεῖς τοῖς τῶν σοφῶν λογισμοῖς δικαίως ἐκεῖνον ἐλέγξαμεν, οἷσπερ ἐχρῆν· τί γὰρ μωμητὸν οἶκον Διὸς τὸν αἰθέρα καλεῖν ἢ χρόνου πόδα τὴν χρονικὴν κίνησιν; εἰ δ’ ὅτι “δωμάτιον” τὸν τοσοῦτον αἰθέρα ἐκάλεσεν, ἴστω, ὡς καὶ τοῦτο καλῶς ἔχον ἐστί· πρὸς γὰρ δύναμιν θείαν ἁπανταχοῦ παροῦσαν καὶ πληροῦσαν τὸ πᾶν καὶ ὁ αἰθὴρ δωμάτιον καὶ οὐ δόμος. [5]

sch ran 100 ᾧ δὲ πυργοῖ—πρὸς σὲ γὰρ νῦν μεταφέρομαι—καὶ μετεωρότερα τοῦ Καπανέως φρονεῖς, ἀλιτήριε, διαγελῶν τὸν ἄνδρα ὡς πάνυ ἀφρόνως καὶ ἀμαθῶς καὶ νηπίως εἰπόντα· “γλῶσσαν ἐπιορκήσασαν ἄνευ φρενός”, καθ’ αὑτὸν συλλογιζόμενος, ὡς αἱ φωναὶ ὑπηρέτιδες νοημάτων εἰσίν, ἡ γλῶσσα δὲ τῶν φωνῶν, πῶς δ’ ἂν γλῶσσά τι λέξειεν ἄνευ φρενός, τρισαλιτήριε, μάνθανε. τὴν φωνὴν οὕτω φυσικῶς γινομένην Εὐριπίδης πολλῷ σοῦ κρειττόνως ἐγίνωσκε· νῦν δὲ τῆς γραὸς λεγούσης· “Ἱππόλυτε, ὤμοσας· μὴ διαφθείρῃς τοὺς ὅρκους μηδὲ προδῷς με”, “ὦ μιαρά”, φησὶν ἐπίσης τῷ κωμικῷ τῷ διασύροντι μάτην τὸν ἄθλιον, “ἐπ’ ἐξαπάτῃ σοι ὤμοσα, ὅπως θηρεύσω σε προειπὼν καὶ λογισάμενος τῇ φρενί, ὅτι κἂν τῇ γλώσσῃ ὀμόσω σοι, οὐ συγκατατιθεμένην ἕξω καὶ τὴν διάνοιαν τοῖς ὀμωμοσμένοις τῇ γλώττῃ, ἀλλ’ ἐναντίαν.” οὕτω, τρισαλιτήριε, πάνυ καλῶς καὶ ἀνεπιμόμφως ἔχει τοδί. ἕτερα δὲ μυρία κατάμομφα τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Εὐριπίδου τε καὶ ἄλλων οὐ συνορᾶτε τῷ νῷ, ὧν ἐγὼ μυρία τοῖς λογισμοῖς καθυπέβαλον τῇ βίβλῳ τῶν ἐμῶν Λογισμῶν, οὐ καθ’ ὑμᾶς φθόνῳ φερόμενος, ἀλλὰ πρὸς ἀλήθειαν. χρόνου πόδα] τὴν χρονικὴν κίνησιν.

sch ran 102 ἰδίᾳ] γρ. ἄνευ. σὲ δὲ ταῦ τ ’ ἀρέσκει : σοὶ δὲ ταῦτα ἀρέσκει ἀττικῶς.

sch ran 103a καὶ μάλα, φησί, πλεῖν καὶ πλέον με ἀρέσκει ἤτοι ὑπεραρέσκει μοι. μαίνομαι] ὑπεραρέσκει μοι.

sch ran 104 κόβαλα : πανοῦργα, μιμηλότατα· ἀπὸ τῶν σατυροπιθήκων ἤτοι ἀρκοϊζιανῶν, οἳ πάνυ μιμηλότατοί εἰσιν. μὴ τὸν ἐμὸν οἴκει νοῦν : εἰπόντος Ἡρακλέους· Ἡρακλέος · ὡς καὶ σοὶ δοκεῖ, φησὶ Διόνυσος· μὴ τὸν ἐμὸν οἴκει νοῦν, ἤτοι οὐκ εἶ ἐν τῷ ἐμῷ λογισμῷ, ὥστε νοεῖν σε καὶ ἃ ἐγὼ βούλομαί τε καὶ νοῶ.

sch ran 105 πάλιν δὲ εἰπόντος τοῦ Ἡρακλέους· καὶ (106) μὴν ἀτεχνῶς καὶ παντελῶς καὶ καθάπαξ παμπόνηρα φαίνεται, ὁ Διόνυσος, ὡσανεὶ διασύρει τὸν Ἡρακλέα ὡς ἀνεπιστήμονα μὲν ποιητικῆς τέχνης, κωμῳδίας φημί τε καὶ τραγῳδίας καὶ τῆς ἄλλης ποιητικῆς, στρατιωτικῶν δὲ ἀγώνων καὶ πόνων εἰδὼς ἐμπειρότατον καὶ βουθοίναν βορὸν ἱκανῶς—ἅπαξ γὰρ καὶ δὶς ὁλοκλήρους βόας κατεθοινήσατο—, φησὶ πρὸς αὐτόν· περὶ μὲν ποιητῶν, ὦ ἄριστε Ἥρακλες, ἐμοὶ λέγειν τι πάρες, ἀρίστῳ κριτῇ τῶν τοιούτων τελοῦντι καὶ (107) ἐπιγνώμονι, δειπνεῖν δέ με δίδασκε· τῶν τοιούτων γὰρ πάνυ ἐμπείρως ἔχεις αὐτός. δειπνεῖν με δίδασκε] ὡς βουθοίναν αὐτὸν διασύρει.

sch ran 108a ἀλ λ ’ ὧνπερ ἕνεκα : καὶ ταῦτα δέ, φησιν, ἔασον· οὐδὲ γὰρ οὐδὲ περὶ τούτων νῦν χρῄζω μανθάνειν, μαθεῖν, ἀλλὰ περὶ τούτων, ὧν ἕνεκα τήνδε τὴν σκευὴν ἔχων κατὰ σὴν μίμησιν ἦλθον, ἵνα μοι τοὺς σοὺς φίλους φράσειας, οὓς ἔσχες φίλους, ὁπότε κατῆλθες ἐκεῖσε πρὸς ἀναγωγὴν τοῦ Κερβέρου. ἀλλ’] ἀλλὰ σκόπησον.

sch ran 108c ἔχων] ἐνδεδυμένος. ξένους] φίλους.

sch ran 110 εἰ δεοίμην] ἐπειδὴ δέομαι. ἐκτροπάς : παρόδους, ἀποφυγὰς δυσχερῶν συναντημάτων τινῶν.

sch ran 113b πορνεῖ’] τά. ἀναπαύλας] τάς.

sch ran 113d ἐκτροπάς] τὰς ἐξόδους. ἰέναι] ἐλθεῖν.

sch ran 117a μηδὲν ἔτι πρὸς ταῦτα : Ἡρακλέος εἰπόντος· τολμήσεις κατελθεῖν εἰς Ἅιδου καὶ σύ; φησὶν ὁ Διόνυσος· ἔτι καὶ νῦν μηδέν—λείπει τὸ “λέγε”—περὶ τούτων· τῶν τοιούτων · ἀλλ’ εἰπὲ τῶν ὁδῶν τὴν καλλίστην, ὅπως ταχέως κατέλθω, καὶ (119) μήτε θερμὴν ἄγαν μήτ’ ἄγαν ψυχρὰν εἴπῃς, ἀλλ’ ὁδὸν εὐκράτῳ καταπνεομένην ἀέρι. πρὸς ταῦτα παίζων ὁ Ἡρακλῆς ἀναλογίζεται δῆθεν καὶ σκοπεῖ, ποίαν ὁδὸν ἐφερμηνεύσει τούτῳ καλλίστην, καὶ παίζων φησίν, ὡς ἐφευρὼν (121) ὁδούς, καὶ λέγει· μία μὲν ὁδὸς δῆθεν ἡ ἀπὸ κάλω καὶ θρανίου, τουτέστι κρεμάσαι αὑτὸν σχοίνῳ ἐκ τοῦ τραχήλου καὶ λακτίσαι ποσὶ τὸ ὑποπόδιον καὶ (122) ἀπορρίψαι καὶ πνιγῆναι· ὃ γνοὺς καὶ ὁ Διόνυσός φησιν· αὕτη πνιγηρὰ ὁδός ἐστιν, κατὰ μὲν τὸ ἐσχηματισμένον ἀδιάπνευστος καὶ θερμή, τὸ δ’ ἀληθὲς λέγεις πνιγῆναί με. ταῦτ’] λέγεις.

sch ran 117c τῶν ὁδῶν] ἀπό. ἀφίξομ’] παραγένωμαι.

sch ran 119a ψυχρὰν] ὁδόν. φράσῃς] ἀλλὰ τὴν εὔκρατον.

sch ran 120a φέρε δὴ] εἶπε. αὐτῶν] ἀπό.

sch ran 122 λέγεις] ὁδόν. ἀλ λ ’ ἔστιν ἄτραπος σύντομος τετριμμένη : πάλιν ὡς ἐπὶ ὁδοῦ συντόμου τετριμμένης καὶ ἁμαξήρους ἁμαξήρους τὸν διὰ φαρμάκου πόσεως θάνατον παίζων λέγει· τρίβεται γὰρ τὸ κώνειον καὶ τῇ ψυχρότητι ἀναιρεῖ· ὃ καὶ ὁ Διόνυσος γνούς· ψυχρά ἐστι καὶ δυσχείμερος ἡ ὁδὸς αὕτη, φησίν.

sch ran 124 διὰ θυείας] τῆς. ἐμπαίζει τὸν Πλάτωνα ὡς τοιαῦτα δοξάζοντα.

sch ran 126b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντικνήμια : τὰ τοῦ σκέλους παχυσαρκώτερα μέρη, τὰ ὄπισθεν ὄπισθε καὶ κατωτέρω τοῦ γόνατος κείμενα, ἃ καὶ γαστροκνημίαι καλοῦνται. πήγνυται δὲ καὶ ἀποψύχεται καὶ ταῦτα τὰ μέρη καὶ τὰ ἕτερα τετελευτηκότος τοῦ ζῴου. ἀποπήγνυσι] ξηραίνει.

sch ran 127a βούλει ταχεῖαν · καὶ ταύτην θέλεις, φησί, ταχεῖαν ὁδὸν καὶ καταφορικὴν καὶ κρημνοὺς καὶ λόφους μὴ ἔχουσαν καὶ ὕλας συναγκείας δασείας; ναί, (128) φησὶν ὁ Διόνυσος, ὅτι βαδιστικὸς καὶ ὁδοιποριστικὸς ὁδοιπορικὸς οὔκ εἰμι. κατάντη] καταφορικήν.

sch ran 128a νὴ τὸν Δί’] αὐτὴν θέλω. μὴ βαδιστικοῦ] καὶ μὴ εἰωθότος πορεύεσθαι ἐμοῦ.

sch ran 129 καθέρπυσον : ὁ Ἡρακλῆς φησι· νῦν βάδισον εἰς τὸν Κεραμεικὸν καὶ (131) ἀναβὰς ἐπὶ τὸν πῦργον πύργον τὸν ὑψηλὸν θεῶ καὶ ὅρα τὴν λαμπάδα ἀφιεμένην (132) ἐκ τοῦ πύργου, ἤτοι μέλλουσαν ἐκ τοῦ πύργου ῥίπτεσθαι· καὶ ὅταν οἱ θεώμενοι καὶ οἱ θεαταὶ εἴπωσι τῷ ἀφιέντι τὴν λαμπάδα—εἴπωσι τί; “ εἶνα ι ” καὶ ἕς, ταύτην δηλονότι τὴν λαμπάδα, —τότε εἶναι καὶ ἓς καὶ ῥίψον καὶ σὺ (134) σαυτὸν κάτω. καὶ ὁ Διόνυσος· ἀλλ’ εἰ ἀπὸ τοῦ πύργου ἐμαυτὸν οὕτω ῥίψω, ἀπολέσω ἂν ἐκ τοῦ ἐμοῦ ἐγκεφάλου τοσοῦτον, ὅσος ἂν ἐξήρκεσε θρία ποιῆσαι δύο, ἤτοι τὰ ἀγοραίως καλούμενα λελέγγια, μᾶλλον δὲ μαλακτά, ὅτι ἡ ζύμη τοῦ ἀλεύρου αὐτῶν πλάσιν εἶχε θρίου καὶ ὑμένος ἐγκεφάλου. ἵημι, ὁ μέλλων ἥσω, ὁ β′ ἀόριστος ἧν, ἡ μετοχὴ εἷς καὶ τὸ 〈ἀπαρέμφατον εἶναι〉 . [5]

sch ran 133b εἶναι (prius)] ἄφες. εἶναι (alt.

sch ran 133c )] πέμψαι. ἐγκεφάλου] ἀπὸ τοῦ.

sch ran 134b δύω] ὑμένας δύο τοῦ ἐγκεφάλου. οὐκ ἂν βαδίσαιμι τὴν ὁδὸν ταύτην : ἀλλὰ συνοπτικώτερον εἰπόντες τὸν νοῦν καὶ ὅσα χρὴ ἐπιδράμωμεν· καὶ πρῶτον ῥητέον ἡμῖν περὶ τοῦ Κεραμεικοῦ καὶ τῆς ἀφιεμένης λαμπάδος.

sch ran 135a ἐν τῷ Κεραμεικῷ—τόπος δὲ ὁ Κεραμεικὸς ἦν ἐν Ἀθήναις—τρισσάκις τοῦ ἔτους λαμπαδικὸς ἀγὼν ἐτελεῖτο· Ἀθηνᾶς, Ἡφαίστου καὶ Προμηθέως. οὕτω δὲ ὁ λαμπαδικὸς ἐγίνετο δρόμος· ἐν τῷ Κεραμεικῷ τούτῳ πῦργος πύργος τις ἦν ὑψηλός, ἐν ᾧ τις ἀνήρχετο ἡμμένην λαμπάδα κατέχων. οἱ θεαταὶ δὲ καὶ οἱ μετὰ λαμπάδων δραμεῖν μέλλοντες κάτωθεν ἑστῶτες ἐβόων· “ἄφες, ἄφες”. ἀφεικότος δὲ ἄνωθεν αὐτοῦ τὴν λαμπάδα, ἰδόντες καὶ οὗτοι τοῦ λαμπαδούχου δρόμου τότε τούτου κατήρχοντο. ἤδη δὲ περὶ ἐγκεφάλου καὶ τοῦ θρίου ῥητέον μοι, κἂν ἰδιωτικωτέρως τοῦτο εἶπον σαφέστατα. θρία τὰ φύλλα τῆς συκῆς λέγονται καὶ ὑμένες τοῦ ἐγκεφάλου, καὶ θρία εἶδος ἐδέσματος κατασκευαζόμενον οὕτως· στέαρ, ἐγκέφαλον, μέλι, ᾠὰ καὶ σεμίδαλιν φύραντες καὶ τὴν ζύμην λεπτὴν συνθέντες ὡς θρία καὶ ὑμένας ἐγκεφάλου, ὤπτων ἰπνῷ ἢ πίγκω· εἶτα δὲ περιείλουν φύλλοις συκῆς καὶ ἀπέστελλον, οἷσπερ ἐβούλοντο. οὐκ ἂν βαδίσαιμι : εἰπόντος τοῦ Ἡρακλέους τοιαύτας γελοίας ὁδούς· οὐκ ἄν, φησὶν ὁ Διόνυσος, βαδίσαιμι τοιαύτην· ἀλλ’ εἰπέ μοι, ἣν σὺ τότε (136) κατῆλθες. [15]

sch ran 135b καί φησιν· ἀλλ’ ὁ πλοῦς πολύς· εὐθὺς εὐθὺ γὰρ ἐπὶ λίμνην ἥξεις πάνυ ἄβυσσον καὶ ὑπερβαθυτάτην, καὶ περαιώσει σε ὁ Χάρων. ἄβυσσον] βαθυτάτην.

sch ran 139a ἐν τυννουτῳῒ πλοιαρίῳ : τοιούτῳ σμικροτάτῳ· σφίγγων δὲ τοὺς τῆς χειρὸς δακτύλους καὶ δεικνὺς αὐτῷ οὕτω λέγει. γέρων] ὁ Χάρων.

sch ran 140a δ ύ ’ ὀβολὼ μισθὸν λαβών : τοῦτό φησι διὰ τὸ παλαιὸν ἔθος· εἰς τὸ στόμα γὰρ τοῦ νεκροῦ δύο ὀβολοὺς ἔβαλλον. ἀδωροδόκητος γὰρ δὲ ὁ Χάρων. 140 p.

sch ran 140b i.m.] ἔθος ἦν παλαιὸν βάλλειν εἰς τὸ τοῦ νεκροῦ στόμα δύο ὀβολοὺς διὰ τὸ ἀδωροδόκητον τοῦ Χάρωνος. ὡς μέγα δύνασθον πανταχοῦ τὼ δ ύ ’ ὀβολώ : τοῦτο εἶπεν, ὅτι καὶ ἐν Ἀθήναις δικαστικὸς ἦν ὁ μισθὸς δικαστικὸς μισθὸς ἦν τριώβολον.

sch ran 141b

δύνασθον] δύνανται. Θησεὺς ἤγαγε : Θησεὺς καὶ Πειρίθους συνέθεντο τὴν Ἅιδου θυγατέρα Κόρην ἁρπάσαι ἔρωτα σχόντος αὐτῆς τοῦ Πειρίθου.

sch ran 142a κατιόντες οὖν κατεσχέθησαν· καὶ ὁ μὲν ὡς ἅρπαξ τῷ Κερβέρῳ κατάβρωμα γίνεται· δίδοται · Θησεὺς δὲ ὡς συνεργός, ἀλλ’ οὐχ ἅρπαξ, ἐδέθη κατασχεθείς. ὕστερον ὑστέρως δὲ Ἡρακλεῖ κατελθόντι κατιόντι διὰ τὸν Κέρβερον πάντα Θησεὺς τὰ ἐκεῖ αὐτῷ ἀκριβέστατα ὑποτίθησιν, ὡς Εὐριπίδης (αὐτὰ) διδάσκει τοῖς δράμασιν (ἑαυτοῦ.) διὰ τὸ θητεύειν τὸν Χάρωνα πορθμεύοντα.

sch ran 142c ἠλθέτην] ἦλθες. τοῦτ’] ταῦτ’.

sch ran 146a καὶ σκῶρ ἀεὶ νῶν : καὶ κόπρον ὑγρὰν ὡσπερεί τινα λίμνην οὖσαν ἀείρρουν μηδαμοῦ πεπηγμένην. νῶν] ῥέων.

sch ran 146c κειμένους] ἴδῃς. κινῶν] γρ.

sch ran 148a καὶ κοινὸν. κινῶν] συνουσιάζων.

sch ran 149 ἠλοίησεν] ἔτυψεν. ἢ Μορσίπου Μορσίμου ῥῆσιν ἐξεγράψατο : ἢ ὅστις τι ἔγραψε τῶν ψυχρῶν τραγῳδιῶν τοῦ Μορσίπου.

sch ran 151a Μορσίμου. ὁ Μόρσιπος Μόρσιμος οὗτος υἱὸς ἦν Φιλοκλέους, ψυχρὸς μὲν ποιητὴς τραγῳδίας, ἀγαθὸς δὲ ἦν ἰατρός, τὴν ἡλικίαν βραχύς. ἔσχε δὲ υἱὸν Ἀμφιδάμαντα· Τζέτζης δέ φησιν Ἀστυδάμαντα. παροιμία· “σαυτὸν ἐπαινεῖς ὥσπερ Ἀστυδάμας”.

sch ran 151c Μορσίμου] Μορσίπου. ἐξεγράψατο] ἐξέγραψε.

sch ran 152 τούτοισι] εἶναι. τὴν πυρρίχην τις ἔμαθε τὴν Κινησίου : ὁ Κινησίας οὗτος ἦν τῷ γένει Θηβαῖος, διθυραμβικῶν μελῶν ποιητής.

sch ran 153a οὗτος αὐτοῦ συμβουλαῖς τε καὶ μέλεσιν ἔπεισε τὴν βουλὴν Ἀθηναίων ἐπισχεῖν τὰ εἰς χορηγίαν διδόμενα κωμικοῖς ἐπεσβόλοις, ὅθεν τινὲς λέγουσι κατ’ αὐτοῦ, ὅτι δοκεῖ μιγῆναι τῷ τῆς Ἑκάτης ἀγάλματι· καὶ κάκιστος μελοποιὸς ἦν κἀν τοῖς χοροῖς ἐχρᾶτο πολλῇ τῇ κινήσει, ἣν καὶ πυρρίχην ἐκάλουν διὰ τὸ εἶναι μακράν· πυρρίχη γὰρ κυρίως ἡ ἐνόπλιος ὄρχησις. ἦν δὲ ὁ Κινησίας οὗτος τὸ μὲν σῶμα ὀκνηρός, πιθανώτατος δέ τι κατασκευάσαι. πυρρίχην] εἶδος ὀρχήσεως.

sch ran 154 περίεισι] περιέρχεται, περιέλθῃ. οἱ μεμυημένοι] οἱ τὰ μυστήρια τελοῦντες.

sch ran 159 ὄνος ἄγων μυστήρια : μακρηγορούντων Ἡρακλέους καὶ Διονύσου θλιβόμενος ὁ Ξανθίας τῷ βάρει τῶν στρωματίων τῶν παρ’ αὐτοῦ φερομένων, ἀκηκοὼς λεγόντων αὐτῶν καὶ περὶ τῶν μεμυημένων ἤτοι τῶν τελεσθέντων τὰ τῆς Κόρης καὶ Δήμητρος ὄργια, τουτέστι τὰς ἑορτάς, ἐπεὶ ᾔδει, ὅτι ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος τῶν Ἀθηναίων ἐκ τῆς πόλεως εἰς Ἐλευσῖνα ἐξερχομένων, οἱ ὄνοι βαρέως ἐθλίβοντο φορτηγοῦντες—ἐνωτοφόρουν γὰρ τὰ ἐκείνοις χρειώδη, διατροφάς τε καὶ στρώματα—, φησὶν αὐτὸς ὄνος εἶναι ἄγων μυστήρια ἤτοι τὰ πρὸς τὴν τῶν μυστηρίων τελετὴν χρήσιμα τοῖς ἀφικνουμένοις τῇ πανηγύρει τῆς ἑορτῆς. ὡς γὰρ ἐκεῖσε οἱ ὄνοι βαρέως, ὡς εἶπον, ἐθλίβοντο, οὕτω καὶ αὐτὸς νῦν ὁ Ξανθίας φέρων τοῖς ὤμοις τοῦ Διονύσου τὰ στρώματα. ἀτὰρ οὐ καθέξω ταῦτα : ταῦτα εἰπὼν ἐπιχειρεῖ ἀποφορτισάμενος ταῦτα καταθεῖναι.

sch ran 160a πρινὴ δὲ προσεγγίσαι θεῖναι αὐτά—οὐ κατετίθεντο— (165) ἕνεκα τοῦ γελοίου Διόνυσος λέγει· σὺ δ’ αὖθις τὰ στρώματα λάμβανε. καθέξω] καὶ βαστάσω.

sch ran 164a καὶ χαῖρ’, ὦδελφίδιον, πολλά. νὴ Δία καὶ σύ γε : τὸ “ νὴ Δί α ” λήρημα κἀνταυθοῖ νόει· λόγος γάρ ἐστιν, ὃν λέγουσι καρδάριν.

sch ran 164b ὤφειλεν εἰπεῖν “εἴθε χαίροις καὶ σύ μοι”, ὡς πρὸς τὸ χαίρειν δ’ οὗτος εἰπὼν “νὴ Δία” σαπρόξυλον τέτευχε καρδάριν λόγον, οὐ βαρβαρίζων, ἀλλ’ ἑκουσίῳ τρόπῳ. ὅταν γελᾷ μᾶλλον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ παικτέοις λόγοις, οὐ βαρβαριστὴς οὐδαμῶς ἢ παικτέος, ἀνὴρ δὲ ῥήτωρ ἀκριβῶς εἰδὼς γράφειν, χαλῶν δὲ νευρὰς τεχνικῶς Μούσης λόγου, μήπως ῥαγῶσι τῇ τάσει τῇ συντόνῳ. καὶ ταχέως μέντοι πάνυ : Ξανθίας τοῖς ὤμοις φέρων τὰ στρώματα, ὡς μακρηγοροῦντας Ἡρακλέα καὶ Διόνυσον ὥρα, μέλλων ἤδη αὐτὰ καταθέσθαι, (165) ἀκηκοὼς Διονύσου λέγοντος· σὺ δὲ τὰ στρώματα στρώμαθ' αὖθις λάμβανε, φησί· πρὶν καὶ καταθέσθαι; ὡς δὲ "πάνυ ταχέως λάμβανε αὐτὰ" εἶπεν ἐλλιπῶς, (167) ὁ Ξανθίας δεῖται αὐτοῦ καί φησι· μὴ δῆτά μοι λέγε ταῦτα λαβεῖν πάλιν, ἀλλὰ μίσθωσαί τινα τῶν ἐκφερομένων, ἐξαγομένων ἢ νεκρῶν, ὅστις ἐπὶ τοῦτο (169) ἔρχεται, ἤγουν εἰς τοῦτο, εἰς τὸ κατελθεῖν εἰς Ἅιδου. [5]

sch ran 166 ἐὰν δὲ μὴ εὕρω, μηὕρω, φησὶν ὁ Διόνυσος, τινὰ ἐκεῖσε κατερχόμενον—οὐκ ἀργῶς φλυαρεῖ οὐδὲ παπούτζια—, τότε με ἄγειν καὶ ἄγε, φησὶν ὁ Ξανθίας. τῶν ἐκφερομένων] τῶν νεκρῶν.

sch ran 169 τότε μ' ἄγειν] ταῦτα τὰ στρώματα. πό ς ' ἄττα · ὁ νεκρὸς ταῦτα δῆθέν δῆθέ φησιν ἀσθενεστάτῃ ἀσθενεῖ πάνυ καὶ λεπτοτάτῃ φωνῇ· πόσα τινὰ σκεύη ἔχετε; καὶ ἰδὼν ταῦτα μισθὸν τοῦ φορταγωγῆσαι ταυτὶ δύο δραχμὰς ἀπαιτεῖ ἤτοι ὀβολοὺς δυόδεκα—ἡ γὰρ δραχμὴ ὀβολῶν ἐστιν ἕξ—ἔλαττον δὲ τοῦ Διονύσου κατατιθεμένου, ἢ Ξανθίᾳ καὶ Διονύσῳ (174) φησὶν ὁ νεκρός· ὑπάγετε ὑμεῖς διὰ τῆς ὁδοῦ, ἤ, ὃ καὶ κρεῖττόν ἐστι, τοῖς νεκροφοροῦσιν αὐτόν. [5]

sch ran 173b τελ[εῖς]] διδοῖς. ὑπάγεθ' .

sch ran 174 .. ὁδοῦ] πρὸς τοὺς βαστάζοντας ἐκεῖνον· ἢ πρὸς τὸν Διόνυσον καὶ τὸν Ξανθίαν. ἵνα ξυμβῶ τί σοι : ἀνάμεινον, φησὶν ὁ Διόνυσος, ἵνα συμβῶ καὶ συμβιβασθῶ σοι κατά τι.

sch ran 175a ξυμβῶ] συμβιβάσω. ἤγουν δώδεκα ὀβολούς.

sch ran 177a λά β ' ἐνν έ ' ὀβολούς · ὁ Διόνυσος· ἐννέα ὀβολούς, φησί, λάβε, ἤτοι μίαν δραχμὴν καὶ ἡμίσειαν. καὶ ὁ νεκρὸς ἕνεκα τοῦ γελοίου ἐναντίως τοῖς ζῶσιν ὀμνύει λέγων· ἀναβιῴην καὶ ἀναζήσαιμι πάλιν, εἰ λάβω ἐννέα ἐννέ' ὀβολούς. ἀναβιῴην .

sch ran 177b .. πάλιν] ἀναζήσαιμι, ἐὰν ἐπάρω γε ταῦ[τα]. ὡς σεμνὸς ὁ κατάρατος : ὁ Ξανθίας τὸ ἐνστατικὸν δῆθεν ἀκηκοὼς τοῦ νεκροῦ φησίν· ὡς σεμνός—νῦν ἀλαζονικὸς καὶ ἐπηρμένος— ἐστὶν ὁ κατάρατος.

sch ran 178a οὐκ οἰμώξεται καὶ κλαύσει; ἐγὼ βαδιοῦμαι. καὶ πάλιν ἀκολουθεῖ καὶ βαστάζει βαστάζων τὰ στρώματα. σεμνὸς] ἐπηρμένος.

sch ran 178c οἰμώξεται] πορεύσεται. ὦ ὄ π .

sch ran 180a παραβαλοῦ : πλησιάζουσι τῇ λίμνῃ καὶ ἀκούουσι τοῦ Χάρωνος βοῶντος τὸ " ὦ ὄ π " καὶ τὸ " παραβαλο ῦ" , ὧν τὸ μὲν " ὦ ὄ π " ναυτῶν ἐλαυνόντων ἐστὶν ἐπιφώνημα, τὸ δὲ "παραβαλοῦ" πλησίον καὶ ἔγγιστα τῆς γῆς ἄγε τὴν ναῦν. ὢ (sic) ὄπ] ἐπιφώνημα ναυτῶν.

sch ran 181 τοῦτ ο ; λίμην νὴ Δία : τοῦτο οἱ μὲν Διονύσου φασὶν εἶναι, ἕτεροι δὲ τοῦ Ξανθίου. ἰστέον δέ, ὡς τῆς λίμνης καὶ τοῦ πλοίου φανέντος μετέβη καὶ ἡ σκηνὴ καὶ ἦν κατὰ τὴν Ἀχερουσίαν λίμνην, οὐκέτι δὲ ἐν Ἅιδου. χαῖ ρ ' ὦ Χάρων : τὸ "χαῖρ' ὦ Χάρων" Ἀχαιοῦ τοῦ τραγικοῦ ἐστιν.

sch ran 185 τίς εἰς ἀναπαύλας : ὁ Χάρων τόπους ὡς πορθμεὺς καταριθμεῖται, οὗ μέλλει καταίρειν, καὶ λέγει τοῖς μέλλουσι πλεῖν· τίς θέλει πλεῦσαι εἰς ἀναπαύσεις ἐκ θορύβων καὶ δυσχερειῶν, ἢ εἰς τὸ πεδίον τῆς λησμοσύνης, ἢ εἰς ὄνου πόκας ἤτοι εἰς τὸ μηδέν; ποῦ γὰρ "ὄνων κείρουσιν" εἶπέ τις "πόκας"; ἢ εἰς Κερβερίους ἢ οὗ ὁ Κέρβερός ἐστιν, ἤγουν εἰς ψυχῶν βάρος καὶ θλίψιν; Κέρβερος γὰρ ὁ τὸ κέαρ καὶ τὴν ψυχὴν βαρύνων. ἐπεὶ δὲ ἀθάνατος ἡ ψυχὴ— ψυχὴ γὰρ λέγεται παρὰ τὸ "ψύχω" τὸ "ζωογονῶ", ὁ θάνατος δὲ τῇ ἀθανασίᾳ ἀντίθετος—, εἰκότως τὰ τοῦ θανάτου πάντα βαρύνουσι τὴν ψυχήν. παροιμία ἐπὶ τῶν ἀφελῶν πραγμάτων· ποῦ γὰρ "ὄνων κείρουσιν" εἶπέ τις "πόκας"; εἰς ὄνου πόκας] ἤτοι εἰς τὸ μηδέν. [5]

sch ran 186c

πόκας] τάς. ἢ ’πὶ κόρακας · ἢ εἰς ἀφανισμὸν καὶ ἀδηλίαν, ὅτι καὶ οἱ κόρακες ἀφανεῖς ὡς ἐπὶ τὸ πλεῖστόν εἰσι καὶ ἐν ἐρημίαις διάγουσιν, ἢ ὅτι τὰ νεκρὰ σώματα ἐσθίουσιν, ἢ ὅτι οἱ ῥιφέντες εἰς τοὺς κόρακας, ὡς καὶ οἱ εἰς τὸ βάραθρον, τοὺς τιμωρητικούς φημι τόπους, ἠφανίζοντο.

sch ran 187b ἢ ἐπὶ Ταίναρον : τὸ Ταίναρον ἀκρωτήριόν ἐστι τῆς Λακωνικῆς ἔχον δύο τινὰ χάσματα, ἃ Ἅιδου πύλαι καλοῦνται καὶ στόματα. ’πὶ Ταίναρον] ἔλθῃ.

sch ran 188 ποῦ σχήσειν δοκεῖ ς; : τὸν Χάρωνα ὁ Διόνυσος ἐρωτᾷ· μέχρι ποῦ ἄρα δυνηθῇς καταπλεῦσαι; ἆρα ἐς κόρακας; καὶ ὁ Χάρων χαριζόμενος Διονύσῳ· ἕνεκα σοῦ ἐπισπεύσας, φησί, κατάρω ἐς κόρακας. ἔμβαινε ἔσβαινε δή : ὁ Χάρων φησὶν ἐπιβαίνειν τῷ πλοίῳ τοὺς μέλλοντας ἀποπλεῖν· Διονύσου δὲ τὸν Ξανθίαν καλοῦντος ἐμβαίνειν, ὁ Χάρων οὐκ ἐᾷ λέγων· δοῦλον οὐκ ἄγω, εἰ μὴ νεναυμάχηκεν ἢ περὶ τῶν νεκρῶν ἢ περὶ τῶν κρεῶν.

sch ran 190 καὶ εἰ μὲν “τῶν κρεῶν” ἔχει, δηλοῖ τὴν ἐπὶ Σαλαμῖνι καθ’ ἡμᾶς κατὰ Περσῶν ναυμαχίαν, ὅτε καὶ οἱ δοῦλοι ὑπὲρ τῶν κρεῶν καὶ τῶν οἰκείων σωμάτων ναυμαχήσαντες καὶ τοὺς Πέρασας ἐνίκησαν καὶ παρὰ τῆς βουλῆς τῶν Ἀθηναίων τῆς δουλείας ἠλευθερώθησαν. εἰ δὲ λέγει “περὶ τῶν νεκρῶν”, ὅπερ ἐμοὶ οὐκ ἀρέσκει, περὶ τῆς ναυμαχίας φησὶ τῆς ἐν Ἀργιννούσαις, ἐν ᾗ τοὺς Λακεδαιμονίους ἐνίκησαν οἱ Ἀθηναῖοι, μὴ δυνηθέντες δὲ διὰ χειμῶνα θαλάσσης ἀνελέσθαι τῶν πεσόντων Ἀθηναίων τὰ σώματα, μιᾷ ψήφῳ τοὺς δέκα στρατηγοὺς ἀπέκτειναν πλὴν μόνων δύο στρατηγῶν πεφευγότων· ἀνεῖλον δὲ τοὺς ἄνδρας βουλῇ Καλλιξένου καὶ Διομέδοντος Χολαργέως. ὕστερον δὲ μετάμελοι γεγονότες οἱ Ἀθηναῖοι καὶ τῷ Τζέτζῃ παραψυχήν τινα μερικὴν χαριζόμενοι τῆς διὰ τοὺς ἄνδρας ἀνίας, ἀναιροῦσι καὶ τὸν μιαρὸν Χολαργέα καὶ τὸν Καλλίξενον. ἃ δέ φασιν οἱ πρὸ ἡμῶν, ὁρᾶτε τὰς βίβλους αὐτῶν· τίς γὰρ ἂν ἢ πάντα ἢ τὰ πλείω ἢ τὰ πλεῖστα τούτων ἢ γράφειν ἢ λέγειν ἰσχύσει; ὃ λέγουσι δὲ καὶ εἰς τὸ “εἰ μὴ νεναυμάχηκε τὴν περὶ τῶν νεκρῶν”, ὃ αὐτός, ὡς ἔφην, οὐ παραδέχομαι, καίπερ ὅμως μὴ παραδεχόμενος, ἀλλὰ περὶ τῶν κρεῶν ἐγὼ λέγων καὶ περὶ τῆς ἐν Σαλαμῖνι ναυμαχίας τῆς πρὸς τοὺς Πέρσας, ἐπιλύσω αὐτοῖς, εἰς τὴν ἐν Ἀργιννούσαις ναυμαχίαν κατὰ ῥητὸν προσθεὶς τὰ αὐτῶν. “τοιοῦτόν τι λέγει· δοῦλον οὐκ ἄγω, εἰ μὴ ἀνῄρηται τοὺς ἐκ τῆς θαλάσσης νεκρούς. οὐκ ἔχει δὲ νοῦν,” φασί, “τὸ λεγόμενον· ναυμαχίας γὰρ οὐδεμιᾶς ἔδει πρὸς τὴν ἀναίρεσιν· χειμῶνι δὲ ἐκωλύθησαν”. ταῦτα μέν εἰσιν, ἅ φασιν οὗτοι. ἂν οὖν καθ’ ἡμᾶς “περὶ τῶν κρεῶν” εἴπῃς καὶ τὴν τῆς Σαλαμῖνος ναυμαχίαν λέγειν νοήσῃς, λέλυκας καὶ τὰς ψυχρὰς ἀπορίας καὶ τὴν ἱστορίαν τὴν ἀληθῆ ὡς ἔχει νοήσεις. εἰ δὲ βουλητὸν καὶ ἐπὶ ταῖς Ἀργιννούσαις ταῦτα δὴ λύειν με, ὁμοῦ καὶ χειμὼν ἦν, ὦ γενναῖοι, καὶ ναυμαχία. εἰ δ’ αὖ χαρίζομαι ὑμῖν καὶ ναυμαχίαν λέγω τότε μὴ εἶναι, τὸ “εἰ μὴ νεναυμάχηκε τὴν περὶ τῶν νεκρῶν” τῶν Ἀθηναίων φημὶ τῶν τότε κακῶς ἐχόντων τοῖς πράγμασι βούλεσθαι. καὶ ἑτέρως τοῦτο ἀκούσεται, δεινὸν δὲ καὶ τοῦτο καὶ γλαφυρώτατον· εἰ μὴ νεναυμάχηκε τὴν ναυμαχίαν τὴν περὶ τῶν νεκρῶν, εἰ μὴ νεναυμάχηκε τὴν καθ’ ὑμᾶς ναυμαχίαν τὴν ἐν Ἀργιννούσαις τὴν περὶ τῶν νεκρῶν, ἤτοι τὴν θρυλλουμένην περὶ τῶν νεκρῶν, δι’ οὓς νεκροὺς οἱ μὲν τῶν δέκα στρατηγῶν αὐτοφυγάδες ἐγένοντο, οἱ δὲ ἀνῃρέθησαν. οὕτως ἡμεῖς ἐπὶ ψευδέσι καὶ ἀσυμφόροις κενὰ κενοῖς μακρηγοροῦντες καὶ ἀτερπέστατα. νεκρῶν] γρ. [35]

sch ran 191 κρεῶν. οὐκοῦν καὶ λοιπὸν περιθρέξῃ καὶ πηδήσεις καὶ περιδράμῃς τὴν λίμνην κύκλῳ πεζός.

sch ran 194a παρὰ τὸν αὐαίνου λίθον : ἤτοι τὸν τῆς ξηρασίας λίθον παρὰ ταῖς ἀναπαύσεσιν. αὐαίνου] ξηρασίας.

sch ran 196a οἴμοι κακοδαίμων : δυσφορῶν ὁ Ξανθίας ἐφ’ οἷς ἀνιαροῖς ἐντετύχηκε· τίνι κακίστῳ, φησίν, οἰωνῷ ἐντετύχηκα σήμερον πρώτως ἐκ τῆς οἰκίας ἐξιών; τῷ ξυνέτυχον] οἰωνῷ συνήντησα.

sch ran 196b ἐξιών] ἀπὸ τῆς οἰκίας. ἵζω ἐπὶ κώπην : εἰπόντος Χάρωνος· εἴ τις σπεύδει πλεῖν ἡμᾶς, καθιζέτω ἐξ κώπην ἤτοι κρατησάτω κώπην καὶ ἐλαυνέτω, ἀκούσας τοῦτο ὁ Διόνυσος ἄνω τῆς κώπης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καθέζεται, καί· τί ποιεῖς; τοῦ Χάρωνος λέγοντος, (200) καθίζω, φησίν, ἐπὶ κώπην, ὡς ἐκέλευσας.

sch ran 199a εἶτα πάλιν ὁ Χάρων· ὦ γάστρων (201) καὶ γαστρίμαργε, φάγε καὶ πότα, οὐ καθεδῇ τοιῶσδε, οὐ κατάσχῃς τὴν κώπην ταῖς χερσὶ καὶ κατέχεις; οὐχ ὑφαπλοῖς αὐτὰς καὶ οὐκ ἐλαύνεις; (202) οὐκ ἀντιβὰς καὶ ἐπιστηρίξας τὸν πόδα τῷ ἑδωλίῳ ἐλαύνεις προθύμως; ᾗπερ] ὅπου.

sch ran 200a καθεδεῖ] καθευδοίη. γάστρων] ὦ γαστρίμαργε.

sch ran 202a φλυαρήσεις] ἀμελῶς διατεθῇς. ἀντιβὰς] ἐπιστηρίξεις τῷ ἑδωλίῳ κρατῶν τὴν κώπην.

sch ran 203 ἐλᾷς] ἐλαύνεις. ἄπειρο ς , ἀθαλάττευτος , ἀθαλάττωτος , ἀσαλαμίνιος : μὴ ἔμπειρος ὢν ἔργων θαλασσίων καὶ ναυτικῶν, μηδὲ νεναυμαχηκὼς τῇ ναυμαχίᾳ τῇ περὶ Σαλαμῖνα.

sch ran 204 ἡ δὲ τοῦ λόγου συνέπεια· κᾆτα πῶς δυνήσομαι ἐλαύνειν ἄπειρος, ἀθαλάττευτος, ἀθαλάττωτος, ἀσαλαμίνιος ὤν; τὸ δὲ “εἶτα” παρέλκει. τὴν Σαλαμινίαν δὲ ναῦν καὶ τὴν Πάραλον τῶν παλαιῶν νῦν ἔασον· μίνας σαλῆς λέγουσιν ἄρτι γὰρ λόγους. εἶτ’] παρέλκον.

sch ran 207 θαυμαστά] μέλη. λιμναῖα κρηνῶν τέκνα : εἷς ἕκαστος τοῦ χοροῦ τῶν βατράχων πρὸς τοὺς ἑτέρους λέγει βοὴν ὑμνητήριον βοᾶν.

sch ran 211a τὰ τοιαῦτα δὲ παραχορηγήματα καλοῦνται· οὔτε γὰρ οἱ βάτραχοι οὔτε ὁ χορὸς τῶν μυστῶν ἐν τῷ θεάτρῳ ὁρῶνται, ἀλλ’ ἔσωθεν μιμοῦνται τοὺς βατράχους. λιμναῖα κρηνῶν τέκνα : λείπει ὁ “καί”· ἀντὶ τοῦ “λιμνῶν καὶ κρηνῶν τέκνα”, φθεγξώμεθα ἀοιδήν.

sch ran 211c λιμναῖα κρηνῶν] ἀντὶ τοῦ “λιμνῶν καὶ τῶν”. ξύναυλον] ξυνῳδόν.

sch ran 214a ἀοιδάν] ἀοιδῶν. κοὰξ] λέγω τό.

sch ran 215a ἣν ἀμφὶ Νυσήϊον : ἣν ἀοιδὴν ἐφθεγξάμεθα περὶ τὸν Διὸς παῖδα Διόνυσον, τὸν Νυσήϊον, τὸν τιμώμενον ἐν Νύσῃ—ἑπτὰ δὲ Νύσαι εἰσίν—, ἥν, ὦ λιμναῖα καὶ ὑδάτων τέκνα βάτραχοι, ἐφθεγξάμεθα τιμῶντες τὸν ῥηθέντα Διόνυσον· οὐκ ἐν λίμναις ὑδατηραῖς, ἀλλ’ ἐν Λίμναις χωρίῳ τῆς Ἀττικῆς οὕτω καλουμένῳ, ἐν ᾧ ἦν Διονύσου ἱερὸν μεγάλως τιμώμενον καὶ ἁγιστευόμενον. Νυσήϊον] τὸν τιμώμενον ἐν Νύσῃ.

sch ran 215c ἀμφὶ … Διὸς] περὶ τὸν παῖδα. Λίμναι χωρίον τῆς Ἀττικῆς οὕτω καλούμενον, ἐν ᾧ ἐτιμᾶτο ὁ Διόνυσος ἐν τῷ ἱερῷ αὐτοῦ.

sch ran 218a ἡνί χ ’ ὁ κραιπαλόκωμος : κραιπαλοκῶμος : ἐπανάλαβε πάλιν καὶ λέγε· ἣν ἀοιδὴν ᾔσαμεν περὶ τὸν Διόνυσον ἐν Λίμναις τῆς Ἀττικῆς ποτε, ἡνίκα χωρεῖ ὁ ὄχλος καὶ τὸ θορυβῶδες τοῦ λαοῦ, ὁ ὄχλος ὁ κραιπαλόκωμος, κραιπαλοκῶμος, ὁ κραιπαλῶν καὶ μεθυσκόμενος ἐν κώμοις καὶ πότοις μετ’ ᾠδῶν καὶ ᾀσμάτων γινομένοις, ὅτε χωρεῖ ὁ τοιοῦτος ὄχλος κατὰ τὸ ἐμὸν τέμενος τὸ ἐν Λίμναις τῆς Ἀττικῆς. ἐπεὶ τοῦ λόγου τὸν νοῦν καὶ τὴν συνέπειαν εἶπον, ἐρῶ καὶ κανόνα σοι. “κραιπαλοκῶμος” ὁ κωμάζων, ἐνεργητικὸν προπερισπᾶται, “κραιπαλόκωμος” δὲ παθητικόν, ὁ κωμαζόμενος, προπαροξύνεται. Χύτροισι : Χύτροι ὄνομα ἑορτῆς ἐν Θήβαις, ἐν ᾗ ἐρχομένων τῶν λαῶν καὶ ὁ Διόνυσος ὑμνεῖτο· οἱ Χύτροι γὰρ ἡ ἑορτὴ οὐκ ἦν ἀνειμένη τῷ Διονύσῳ.

sch ran 218b οὕτω δὲ ἤγετο· μετὰ τὸ σωθῆναι τοὺς ἐν τῷ κατακλυσμῷ ἐκ τοῦ κατακλυσμοῦ πεφευγότας ἀνθρώπους, ᾗ ἡμέρᾳ πρώτως ἐθάρρησαν χύτραν τῷ πυρὶ ἐπιθεῖναι ἐπιστῆσαι καὶ ἐν αὐτῇ ἐπιστῆσαι καὶ ἀφεψῆσαι ἀφεψῆσαι τὰ ἐμβληθέντα, καὶ τὴν ἡμέραν καὶ ἑορτὴν κατ’ αὐτὴν τὴν ἡμέραν ποιήσαντες Χύτρους ἐκάλεσαν. ἔθυον δὲ ἐν αὐτῇ οὐδενὶ τῶν ὀλυμπίων θεῶν, Ἑρμῇ δὲ χθονίῳ ὑπὲρ τῶν τεθνεώτων, καὶ τῆς ἑψομένης χύτρας ἑνὶ ἑκάστῳ τῶν ἐν τῇ πόλει οὐδεὶς τῶν ἱερέων ἐγεύετο· οἱ δὲ κατ’ ἐκείνην τὴν ἡμέραν ἐκεῖσε παραγενόμενοι παραγινόμενοι ἐγεύοντό τε τῶν χυτρῶν καὶ ὑπὲρ τῶν τεθνεώτων τὸν Ἑρμῆν ἐξιλάσκοντο. ἡμέρᾳ δὲ τὰς χύτρας ἐκείνας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἦσαν ἑψοῦντες ἑψοῦντες ἦσαν καὶ οὐ νυκτί· ἤγοντο δὲ καὶ ἀγῶνες ἐκεῖσε οἱ χύτριοι χύτρῖνοι καλούμενοι. ὁ κραιπαλόκωμος] ὁ μεθυσκόμενος ἐν κώμοις καὶ μέθαις, πότοις.

sch ran 219 ἐμὸν τέμενος] τὴν Λίμνην. ἐγὼ δέ τ ’ ἀλγεῖν ἄρχομαι τὸν ὄρρον : τῇ συνεχείᾳ τῆς εἰρεσίας ἠρξάμην, φησὶν ὁ Διόνυσος, ὀδυνᾶσθαί μου τὸν ταῦρον.

sch ran 221 ὁ δὲ ταῦρος οὗτος μέρος ἐστὶ τοῦ σώματος ὑποκάτω τῶν διδύμων. τὸν ὄρρον] τὸν ταῦρον.

sch ran 224a ὑμῖν] τοῖς βατράχοις. ἴσως] τάχα.

sch ran 224c μέλει] διὰ φροντίδος. ἀλ λ ’ ἐξόλοισ θ ’ αὐτῷ κόαξ : κοὰξ : ἀλλ’ ἐξόλοισθε σὺν αὐτῷ τῷ “ κόα ξ” , “ κοὰ ξ” , ὁ Διόνυσος λέγει μισήσας τὴν ἀτερπῆ φλυαρίαν τοῦδε καὶ τὴν ἀθεότητα.

sch ran 226b αὐτῷ] σὺν αὐτῷ. εἰκότως γ’ , ὦ πολλὰ πράττων : εἰκότως, οἱ βάτραχοι λέγουσιν, ἀλγεῖς, Διόνυσε, τὸν ὄρρον· πολυπραγμονῶν γὰρ καὶ τὰ ἐν Ἅιδου θέλεις μαθεῖν.

sch ran 228a ἀλλὰ κατὰ ῥητὸν τὰ τούτων λεκτέον. “εἰκότως οὐδὲν ἄλλο ἐσμὲν ἢ κόαξ κόαξ, κοὰξ κοὰξ, ἤ· εἰκότως ἀλγεῖς τὸν ὄρρον· πολυπραγμονεῖς γάρ”. ταῦτα τὰ τῶν σοφῶν. ἄλλω ς . οὕτως οἱ παλαιοί φασιν· ἡμεῖς δὲ λέγομεν · εἰκότως, ὦ πολλὰ πράττων Διόνυσε, πολυπράγμων πολυπρᾶγμον καὶ θέλων γνῶναι καὶ τὰ ἐν Ἅιδου, ἤ· εἰκότως, ὦ Διόνυσε, μέγιστε θεέ, πολλὰ πράττων καὶ μυρία παρέχων ἀνθρώποις χρηστά, τὸ “ κόα ξ ” “ κοὰ ξ ” συνεχῶς (229) λέγω καὶ ᾄδω, ὅτι με στέργουσι Μοῦσαι αἱ πρὸς λύραν καὶ ὁ Πὰν ὁ κεροβάτης, ὁ τοῖς ποσὶ χηλὰς ἔχων ⟦ προ ⟧ βάσεις κερατίνας· 〈κεράτιν〉 αι γὰρ 〈αἱ〉 προβάτων· κεράτινοι δὲ αἱ χηλαὶ τῶν προβάτων—ὁ Πὰν ποῖος; ὁ καλάμοις παίζων· ἢ ὁ σύριγγι καλαμίνῃ χρώμενος—καὶ ὁ Ἀπόλλων ὁ φορμικτὴς καὶ βυκανιστὴς καὶ κιθαριστής. φορμιγκτὴς καὶ κιθαριστής. εἰκότως] ἀλγεῖς τὸν ὄρρον.

sch ran 230 κεροβάτας] ⟦ προ ⟧ βάσεις κερατίνας ἔχων τὰς χηλάς. καλαμόφθογγα] καλάμοις.

sch ran 232 φορμικτὰς] κιθαριστής. ἕνεκα δόνακος , ὃν ὑπολύριον τρέφω : ὑπολύριόν φησι τὸν δόνακα, ὅτι οὐ μόνον λυρικοὶ πρὸς λύραν ᾖδον καὶ αὐλόν, ἀλλὰ καὶ τραγικοὶ καὶ κωμικοὶ ἐν τοῖς μέλεσιν οὕτως ᾖδον.

sch ran 236a φλυκταίνας : φωΐδας, σμώδηκας, σμώδιγγας, αἱμοσταλαγίδας, αἳ γίνονται ταῖς ἁπαλαῖς καὶ ἀτρίπτοις χερσὶν ἐπὶ πολὺ κρατούσαις σκληρόν τι καὶ ἀντίτυπον. φλυκταίνας] λείπει χερσίν.

sch ran 237a πρωκτὸς τὸ μακρὸν τῶν σπερόντων ὀργάνων· οὗτος παραχρήσει δὲ νῦν τοῖς ἐνθάδε αὐτὴν ἕδραν δείκνυσι καὶ τράμιν λέγειν. πρωκτὸς τὸ μακρὸν τῶν αἰδοίων· νῦν δὲ κατὰ παράχρησιν τὴν ἕδραν.

sch ran 240 ἀλλ’ ὦ φιλῳδὸν] ἀξίωσις. εὐηλίοις ἐν ἡμέραις : ὁ χορὸς τῶν βατράχων φησὶ πρὸς τὸν Διόνυσον· μᾶλλον μὲν οὖν φθεγξαίμεθα, καὶ οὐ σιωπήσαιμεν, εἴ ποτε ἐν (243) εὐηλίοις ἡμέραις ἤτοι ἐαριναῖς, θεριναῖς, φθινοπωριναῖς φθινοπωρίσιν ἡλάμεθα, ἐσκιρτήσαμεν, ἐπηδήσαμεν διὰ κυπείρου καὶ φλέω.

sch ran 242a εἴδη δὲ βοτανῶν καὶ φυτῶν εἰσι τό τε κύπειρον καὶ ὁ φλέως· κύπειρον μὲν ἡ σχοῖνος, τὸ “βρύλλον” καλούμενον ἰδιώταις· φλέως δὲ τὸ ἐν ποταμοῖς φυόμενον παπυρῶδες. εὐηλίοις] ἐαριναῖς, θεριναῖς, φθινοπωριναῖς.

sch ran 243a ἡλάμεθα] ἐσκιρτήσαμεν. κυπείρου] σχοίνου.

sch ran 244 φλέω] παπύρου. ἢ Διὸς φεύγοντες ὄμβρον : ἢ τὴν οὐράνιον βροχὴν πεφευγότες· πεφρίκασι γὰρ τοὺς ὄμβρους οἱ βάτραχοι καὶ κρύπτονται θαλάμοις καὶ τῷ βυθῷ καὶ τοῖς τέλμασι, καὶ ὅταν καταρρυῆναι μέλλωσιν ὄμβροι, προσημαίνοντες τοῦτο βοῶσι καὶ κρύπτονται.

sch ran 246b Διὸς ... ὄμβρον] τὴν οὐράνιον βροχήν. πομφολυγγοπαφλάσματα δέ φησι τὰς ἐκ βυθοῦ τῶν βατράχων ἀνιεμένας φωνάς· παφλάζει γὰρ καὶ ἀναφέρεται τότε τὸ ὕδωρ ταῖς τούτων φωναῖς

ἀνωθούμενον, ὡς ὑπὸ τοῦ πυρὸς πυρὸς τὸ ὕδωρ τοῦ λέβητος, καὶ πομφόλυγγες ἤτοι φύσκαι μικραὶ καὶ λεπταὶ γίνονται ἀραιώμεναι καὶ κούφως τοῖς ὕδασιν ἐπιφερόμεναι.

sch ran 249a ἐπινήχονται. πομφόλυξ ἀπὸ τοῦ πέμπειν φολίδας.

sch ran 249b γίνεται δὲ ἡ πομφόλυξ οὕτως· κατερχομένης τῆς ψεκάδος καὶ μεμιγμένης μετὰ τοῦ πνεύματος τὸ μὲν ὕδωρ κατωφερὲς μένει κάτω, τὸ δὲ πνεῦμα ὡς κοῦφον ζητεῖ τὴν ἄνω φοράν, καὶ ἐκ τούτου γίνονται αἱ πομφόλυγγες τῷ λόγῳ τῷ φυσικῷ. τουτὶ] τὸ ἀγαθόν.

sch ran 254a ἔγωγ'] πείσομαι. ἐλαύνων] τὴν κώπην.

sch ran 255 εἰ] ἐπειδή. οἰμώζε τ ' ἄρα : παίζων νῦν ὁ Διόνυσος οἰμωγήν φησι τὴν ᾠδὴν τῶν βατράχων.

sch ran 257b τὴν ᾠδὴν τῶν βατράχων λέγει. ὁπόσον γ ' ἡ φάρυγξ ἡμῶν : σημείωσαι, ὅτι ἐν τοῖς πλείοσι " φάρυ ξ " ἄνευ τοῦ γ γράφεται, ἐν εὐαρίθμοις δὲ πάνυ καὶ " φάρυγ ξ " σὺν τῷ γ.

sch ran 259a τὰ δὲ τῆς κουστωδίας γλαντία μὴ εἰδότα λόγων κανόνας, εἴ τις τῶν ἐμῶν τοιοῦτόν τι γράψειεν, σύρουσιν αὐτὸν καὶ γελῶσιν· ἀλλ' οἳ καὶ ὀστράκοις, πλὴν εἰς Γραφάς, ὡς δέλτοις ἐχρῶντο, καὶ ὧν ἡ Μοῦσα μέχρι καὶ νῦν ὀστρακοκρότητον ᾄδει τὸ μέλος, ἀλλ' οὐ πρὸς αὐλὸν καὶ λύραν καὶ βάρβιτον. "λάρυγξ" ἀνωτέρω μέρος· "φάρυγξ" ὁ κάτωθεν, ὁ καὶ οἰσοφάγος καλούμενος.

sch ran 259b εἰσὶ δὲ δύο αὐλοί· ὁ μὲν εἷς λαμβάνει τὰς τροφάς, ὁ δὲ ἕτερος ἀναπνευστικός, ὅστις καλεῖται καὶ τραχεῖα ἀρτηρία, ἀπὸ τοῦ τηρεῖν τὸν ἀέρα ἤτοι τὸ πνεῦμα· ἐπάνω δὲ τούτου κεῖται ἡ λεγομένη σταφυλή. ὅταν οὖν εἰσέλθῃ ἐκεῖσε τροφή, πάσχει πνιγμονὴν ὁ ἄνθρωπος· γίνεται δὲ ὡς ἐπὶ τὸ πλεῖστον ἐπὶ τῶν νηπίων διὰ τὸ βορὸν αὐτῶν. κεκράξομαι δ ι ' ἡμέρας : ᾄσω, βοήσω δι' ὅλης ἡμέρας, πανημερίως, ἕως ἂν ὑμῶν ἐπικρατήσω καὶ κατάσχω καὶ παύσω τὸ "κόαξ"· "κοάξ" · κρατῶ γὰρ ἀττικῶς αἰτιατικῇ, ὡς μυριάκις ἐδείξαμεν καὶ ἕτερα μυρία.

sch ran 265a οὐκ οἶδα δέ, τί παθόντες οἱ παλαιοὶ " ἐπικρατήσω τὸ κώα ξ " τῷ κοά ξ " τὸ "κω" "τῷ" μέγα γράφουσιν. κἄν με] καὶ ἐγώ.

sch ran 266 ἐπικρατήσω] κατάσχω. ἔμελλον ἄρα παύσειν πο θ ' ὑμᾶς τοῦ κόαξ : κοάξ : νῦν δῆλον, ὡς οἱ μιμητικοὶ τῶν βατράχων ὑποκριταὶ οὐκ ἐν τῷ φαινομένῳ εἰσίν, ἀλλ' ὑπὸ τὴν σκηνὴν κεκρυμμένοι, ὡς ὑπὸ λίμνην οἱ βάτραχοι.

sch ran 268 ἡ μέντοι φωνὴ αὐτῶν ἐξακούεται, ὥσπερ κἀκείνων, κἂν ἐκ βυθοῦ φθέγγωνται. μετὰ δὲ τὸ τοὺς βατράχους σιωπῆσαι σιγῆσαι χορὸς εἰσέρχεται τῶν μυστῶν, ὡς καὶ πρότερον εἴπομεν. παῦ ε , παῦ ε , φησὶν ὁ Χάρων, τῆς κωπηλασίας, παραβαλο ῦ , πλησίασον τῇ γῇ τοῦ Ἅιδου· τὼ κωπίω καὶ τὰ κωπία· λείπει "πρόσ(σ)χες, μὴ κατάξειας" κατάξεις".

sch ran 269a νῦν δὲ πᾶσα ἡ σκηνὴ ἡ σκηνὴ πᾶσα καὶ ὁ χορευτὴς οἱ χορευταὶ μετέβησαν καὶ ἐν τῷ Ἅιδῃ δῆθέν εἰσιν. παῦε] λείπει πρόσχες, μὴ κατάξειας.

sch ran 269c παραβαλοῦ κτλ. p.i.m.] παράθες· ἢ πλησίασον τῇ γῇ τοῦ Ἅιδου. νῦν δὲ πᾶσα ἡ σκηνὴ καὶ ὁ χορευτὴς μετέβησαν καὶ ἐν τῷ Ἅιδῃ δῆθέν εἰσιν. τὼ κωπίω] τὰ κωπία.

sch ran 270a τὸν ναῦλον ἀρσενικῶς, ὡς Καλλίστρατος γράφει· σὺ δὲ τοῖς τρισὶ γένεσι γράφε πεπεισμένος ἡμῖν· τὸ ναῦλον, τὴν τὸν ναῦλον καὶ τὸν τὴν ναῦλον. ὁ ναῦλος, ἡ ναῦλος, τὸ ναῦλον.

sch ran 271a ὁ Ξανθία ς . ποῦ Ξανθία ς ; ἦ ἢ Ξανθίας : ἐστὶ δηλονότι ποῦ; καὶ ὁ Ξανθίας ἀποκρίνεται δουλικῶς· " ἰα ῦ" , ἰαύω· ἢ "ἰάπτω" βαρβάρως, ἤτοι "διατρίβω", "πάρειμι". ἦ] ἆρα.

sch ran 271b Ξανθίας] ἐστὶ ποῦ; ταυταθοῖ (sic)] γρ.

sch ran 273 τἀνταῦθα. οὓς ἔλεγεν ἡμῖν : ὁ Ἡρακλῆς δηλονότι.

sch ran 275b σὺ δ ' οὔ : σὺ δὲ οὔ, φησὶν ὁ Ξανθίας τῷ Διονύσῳ· ἤτοι οὐκ ἐθεάσω. καὶ ὁ Διόνυσος· νὴ τὸν Ποσειδῶ, φησίν, ἐθεασάμην· καὶ νυνί γε ὁρῶ τοὺς ἐπιόρκους. παίζων δὲ τῷ δοκεῖν λέγειν ὁρᾶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοὺς ἐν τῷ Ἅιδῃ ἐπιόρκους περὶ τῶν ζώντων καὶ μετὰ τῶν θεατῶν ἑστηκότων ἐπιόρκων φησίν. ἔλεγεν ἡμῖν] ὁ Ἡρακλῆς.

sch ran 277a προϊέναι βέλτιστα νῷν : βέλτιστα καὶ ἤτοι βέλτιον καὶ ἄριστον νῷν καὶ νῶϊν καὶ ἡμῖν, προϊέναι καὶ ἐπὶ τὰ ἔμπροσθεν προχωρεῖν καὶ πορεύεσθαι, ὅτι οὗτός ἐστιν ὁ τόπος, οὗ τὰ δεινὰ θηρία εἶναι ἔλεγεν ὁ Ἡρακλῆς. Ἡρακλῆς. καὶ ὁ Διόνυσός Διόνυσός φησιν· ὡς οἰμώξεται· “ ὠ ς ” καὶ “ὅτι” οἰμώξεται, ἢ “ ὢ ς ” καὶ “λίαν”. τὸ δὲ “ οἰμώξετα ι ” ἢ ὁ Ἡρακλῆς ὁ πτοῶν ἐκπτοῶν με, ἢ τὰ θηρία. προϊέναι .

sch ran 277b .. νῶϊν] ὡς ἐπὶ τὰ ἔμπροσθεν ἐλθεῖν ἡμᾶς. οὗ] ὅπου.

sch ran 279a ὧς] λίαν. οἰμώξεται] ὁ Ἡρακλῆς ὁ πτοῶν με.

sch ran 281 φιλοτιμούμενος : φιλοδοξῶν καὶ μόνος ἐθέλων ἀπολαύειν δόξης, ὡς μόνος ὢν καὶ γενναῖος καὶ μάχιμος, πάντας δὲ ἄλλους δειλούς, ἀνάνδρους, ἀπειροπολέμους καὶ ἀπομάχους οἰόμενος, καὶ οὕτω μορμολυττόμενος τῷ (282) λέγειν τοιαῦτά τινα πρὸς ἐκπτόησιν· οὐδὲν γὰρ ζῷον οὕτω ἀλαζονικόν, (283) ὡς Ἡρακλῆς. ἐγὼ δ’ εὔχομαι ἐντυχεῖν τοιούτῳ τινὶ καὶ λαβεῖν ἀγώνισμα καὶ νικητήριον ἐπάξιον τῆς ὁδοῦ ἤτοι τοῦ πόνου, ὃν ἐκοπίασα τοσαύτην ὁδοιπορήσας ὁδόν, ἵνα μὴ κενά μοι ἀμφότερα γένοιτο, ὅ τε πόνος καὶ ἡ ὁδός. γαῦρόν] ἐπηρμένον πρᾶγμα.

sch ran 282b ὡς] ὥσπερ. ἀγώνισμα τὸ ἀπὸ τοῦ ἀγῶνος διδόμενον δῶρον, ὥσπερ καὶ ἆθλον τὸ ἀπὸ τοῦ ἄθλου.

sch ran 284b ἀγώνισμ’] νικητήριον. ἄξιόν] ἐπάξιον.

sch ran 284d τῆς ὁδοῦ] τοῦ πόνου. νὴ τὸν Δία : πρὸς ταῦτά φησιν ὁ Ξανθίας πρὸς τὸν Διόνυσον· καὶ μὴν αἰσθάνομαι ψόφου τινός, μὰ τὸν Δία, ἤτοι ἐντελὴς γέγονεν ἡ εὐχή σου· ὁ ψόφος γὰρ οὗτος δοκεῖ τινος θηρὸς εἶναι δεινοῦ καὶ μαχίμου· καὶ κτεῖνε αὐτὸ καὶ ἄξιον λάμβανε τὸ ἀγώνισμα.

sch ran 285 τὰ δὲ λοιπὰ σαφῆ καὶ ἀγοραῖον ἔχοντα γέλωτα. ὀρεύς : ἡμίονος.

sch ran 292 ἀλ λ ’ ἤδη κύων: καὶ τοῦτο τὸ χαριέστερον γέλωτος σύρφακος καὶ ἀγοραίου. Ἔμπουσα τοίνυν ἐστὶν : ἐστὶ : τὴν Ἔμπουσαν οἱ μὲν αὐτὴν τὴν Ἑκάτην οἴονται εἶναι, οἱ δὲ φάντασμα δαιμονιῶδες ὑπὸ τῆς Ἑκάτης πεμπόμενον καὶ τὰς μορφὰς ἐναλλάττον, καὶ μεσημβρίαις πολλάκις ἐμφαίνεσθαι, ὅταν τοῖς τεθνηκόσιν ἐνήγιζον.

sch ran 293 καὶ οἱ μέν φασι μονόπουν αὐτὸ εἶναι, καὶ ἐτυμολογοῦσιν αὐτὸ ἀπὸ τοῦ ἕνα ἔχειν πόδα· Ἑνίπουσαν καὶ Ἔμπουσαν καὶ Ἑνισκελίδα δὲ ὀνομάζουσιν· ἕτεροι δὲ αὐτὴν ὄνου σκέλος λέγουσιν ἔχειν, ὅθεν ἐκεῖνοι Ὀνοσκελίδα, Ὀνόκωλον καὶ Ὀνοκωλίδα Ὀνοκωλαίαν καλοῦσιν. ἰστέον δέ, ὅτι τὸ “Ἔμπουσα”, κἂν ἀπὸ τοῦ “ἕν” γίνεται γέγονε καὶ τοῦ “πούς”, ψιλοῦσθαι ὀφείλει καὶ οὐ δασύνεσθαι κατὰ τὸν κανόνα τὸν τεχνικόν· τὰ τοιαῦτα γὰρ ἐντελῆ μὲν ὄντα δασύνεται, συγκοπέντα δὲ αἰολικῶς ψιλοῦται· αἱ συγκοπαὶ γὰρ τῶν Αἰολέων εἰσίν. εἰς μαρτυρίαν δὲ καὶ τῶν παραδειγμάτων κατάκουε· “ἱερεύς”, “ἰρεύς”· “ἱέραξ”, “ἴρηξ”, καὶ ἕτερα μυρία. σὺν ἑτέροις μυρίοις. οὕτω καὶ τὸ “Ἑνόπουσα” μὲν ἐντελὲς ὂν δασύνεται, τὸ δὲ “Ἔμπουσα” συγκοπὲν αἰολικῶς ψιλοῦται. ἐγὼ δὲ τοῦτο δασύνω πάνυ μεγίστην δασεῖαν δι’ ὠφέλειαν ἀκροατῶν καὶ θεατῶν ἀμαθῶν, μὴ φροντίζων, εἰ περὶ κανόνα ἑκουσίως μικρόν τι ἁμαρτάνω δι’ ἀμαθῶν λυσιτέλειαν. ὁ γὰρ ἑωρακὼς εἰς τὸ “Ἕμπουσαν” κειμένην δασεῖαν εὐθέως γνοίη, ὅτι ἀπὸ τοῦ “ἑνός” “Ἑνόπουσα” καὶ “Ἔμπουσα” γέγονεν. τὰ καθ’ ἡμῶν δὲ βλάσφημα οὐ δέδια στόματα· εἴπερ γὰρ κάρτα με κακὸν καὶ ἀνάλκιδα φήσει ἀνδράσιν εὖ φρονέουσι (ἡρώεσσι) γέλων ἀλίαστον ὀρίνει. βολίτινον : βόλιτος ἡ τῶν βοῶν κόπρος· ἤγουν κόπρινον.

sch ran 297 ἱερεῦ , διαφύλαξόν με : ἤδη μυηθεὶς ὁ Διόνυσος ἐν τῇ σκηνῇ δεῖται τοῦ ἀκολουθοῦντος ἱερέως διαφυλάξαι αὐτόν. ἦν δὲ ὁ ἱερεύς, ὡς προϊὼν δείξει, πάνυ πυρρὰς καὶ ἐρυθρὰς τὰς τρίχας ἔχων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κεκτημένος. ἀπολούμε θ’ , ὦναξ Ἡράκλεις : εἰπόντος Ξανθίου φησὶν ὁ Διόνυσος· ἱκετεύω σε, ὦ ἄνθρωπε, μὴ καλεῖς καλῇς με, δηλονότι Ἡρακλέα· εἰπόντος (300) δὲ τοῦ Ξανθίου· Διόνυσε δή, φησὶν ὁ Διόνυσος· τοῦτο ἧττον τοῦ ἑτέρου, τοῦ καλεῖν με Ἡρακλέα, τουτέστιν οὕτω καλούμενος ἡττόνως τιμωρηθείην ἢ βλαβείην, Ἡρακλῆς δὲ καλούμενος μειζόνως διὰ τὰ ἐκείνῳ τῇδε πεπραγμένα.

sch ran 298a τὰ δὲ βουβάλια τὸ “ἧττον θατέρου” τὸ χεῖρόν φασιν. ταῦτα μὲν οὕτω· σοὶ δὲ τί ἂν εἴποιμι, ἀλιτήριε κωμικέ, Διονύσῳ τοσαύτην ἀπειρομαχίαν συνάπτοντι καὶ δειλίαν δειλοτέραν λαγωῶν ἢ βατράχων, ἀνδρί, ὃς Ἰνδοῖς ἐπολέμησεν, Ἄραψιν, Αἰγυπτίοις καὶ Ἀσσυρίοις φόρους ἐπέθηκε, πᾶσαν Ἀσίαν διέδραμεν, ἐδουλαγώγησε Σκύθας, τὴν ἄρκτον πᾶσαν παρήλασε, τοῖς Ἀγαθύρσοις οὖσιν ὑπερβορέοις ὄργια δεξαμένοισιν ἑῶν πόρεν οὔνομα θύρσων, ὃς οὐ τὴν ἑῴαν Ἑλλάδα παρεῖδεν οὐδὲ τὴν ἑσπέραν, καὶ ταῦτα πάντα εἰργάσατο διτταῖς γενεαῖς ὑπάρχων ἀνώτερος, οὗ προφέρεις νῦν Ἡρακλέος; ἐπὶ τῇ τοσαύτῃ γε ἀπροσκέπτῳ γραφῇ ἀπορῶ, τί καὶ λέξαιμι· ἔπεισι δέ μοι λέγειν, ὃ καὶ προεγράφη, ὅτι μεθύων, ὡς ἔοικε, τόδε τὸ δρᾶμα ἐξέθου καὶ ἀγοραίοις καὶ σύρφαξι χαριζόμενος ὅλως διόλου ἀγοραῖον τοῦτο πεποίηκας. οὐ μὴ καλεῖς μ’] δηλονότι Ἡρακλέα.

sch ran 300 οὕτω καλῶν με, ἡττόνως τιμωρηθήσομαι ἢ βλαβήσομαι, Ἡρακλῆς δὲ καλούμενος μειζόνως. ἴθ ’ ᾗπερ ἔρχει : δεῖ νοεῖν, ὅτι διὰ δειλίαν ὄπισθεν ὁ Διόνυσος ἔρχεται, προπορεύονται δὲ τούτου ὁ ἱερεὺς καὶ ὁ Ξανθίας· καί φησι πρὸς αὐτὸν ὁ Ξανθίας· “δεῦρο δεῦρο”, ἐνταῦθα ἐνταῦθα· λείπει τὸ “βάδιζε”, πορεύου.

sch ran 301b ᾗπερ] ὅπου. ἔξεστι δ ’ ὥσπερ Ἡγέλοχος : Ἡγέλοχος ὑποκριτὴς τῶν δραμάτων ἦν Εὐριπίδου, τῷ ἐν Ὀρέστῃ δὲ δράματι τόνδε τὸν στίχον λέγων ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν’ ὁρῶ, ὑγροῦ πολλοῦ ἐπιδραμόντος τῷ στόματι, ἀποπνιγῆναι κινδυνεύων ὁ ἄνθρωπος ἔστη εἰς τὸ “γαλῆν”· χρόνου δὲ ἱκανοῦ διελθόντος ἐξεφώνησε τὸ “ὁρῶ”· καὶ Πλάτωνι τῷ κωμικῷ καὶ τούτοις πᾶσιν ἐκωμῳδήθη, ὅτι οὕτω παρακεκομμένως ἐποιήσατο τὴν ἐκφώνησιν καὶ οὐκ ἀπεπνίγη λάροις καὶ μωροῖς χαριζόμενος.

sch ran 303a νῦν δὲ οὗτος οὐ κωμῳδεῖ αὐτόν· ἔστι δὲ προσφόρως ἡμῖν, φησίν, εἰπεῖν τὸ Ὀρέστου ὑπὸ Ἡγελόχου λεχθέν, ὅτι ἐκ πόνων καὶ συμφορῶν ἐγαληνιάσαμεν καὶ ἀγαθοῖς τισι προσεκύρσαμεν. Ἡγέλοχος] ἦν δὲ ὑποκριτὴς Εὐριπίδου.

sch ran 305 τὸ “κατόμοσον” καὶ τὰ τοιαῦτα ἀγυρτικὰ γελοῖα καὶ κάπηλα, οὐχ οἷα ἐκεῖνα τῶν Νεφελῶν τὰ θεσπέσια. ἐκ τοῦ φόβου ὠχρίασις, ἐκ δὲ τῆς αἰδοῦς ἐρυθρίασις γίνεται.

sch ran 308a ὁδὶ δὲ δείσας ὑπερεπυρρίασέ μου : φησὶν ὁ Διόνυσος· ἐγὼ μὲν ὠχρίασα ἰδὼν τὴν Ἔμπουσαν, ὁδὶ δὲ δείσας ὑπερεπυρρίασε. πρῶτόν φημι· ἐκ φόβου ὠχρίασις ὠχρίανσις γίνεται, ἐξ αἰδοῦς δὲ ἐρυθρίασις· ἀγοραῖον δὲ γέλωτα καὶ οὐ σώφρονα κινῶν οὗτός φησιν· ὁ ἱερεὺς δὲ δείσας ὑπερεπυρρίασεν· ἦν γάρ, ὡς φθάσας εἰρήκειν, τοιοῦτος τὸ χρῶμα ὁ ἱερεύς. ἢ τὸν Ξανθίαν φησὶν ὁ Ἀρίσταρχος λέγων· “διὰ γὰρ τὸ εἶναι πυρρὸν καὶ Ξανθίαν κληθῆναι”. Τζέτζης δέ φησιν· ὦ Ἀρίσταρχε, εἰ διὰ τὸν Ξανθίαν εἶπε τουτὶ καὶ οὐ διὰ τὸν ἱερέα ἢ ἕτερόν τινα τῶν συνακολουθούντων μυστῶν, οὐκ ἂν εἶπεν “οὗτος”, ἀλλὰ “σὺ ὑπερεπυρρίασας”. πρὸς γὰρ τοῦτον ὁ Διόνυσος ποιεῖται τὸν λόγον· εἰπόντος γὰρ Ξανθίου αὐτῷ· ἡ Ἔμπουσα φρούδη, νὴ τὸν Δία, οὗτός φησι πρὸς αὐτόν· ἐγὼ μὲν ἰδὼν αὐτὴν ὠχρίασα, οὗτος δὲ ὑπερεπυρρίασεν. οὗτος ὁ ἱερεὺς ἦν γάρ, ὡς εἴρηται, τοιοῦτος τὸ χρῶμα.

sch ran 310a τί ν ’ αἰτιάσομαι θεῶν : περισσῶς καὶ μάτην νῦν κεῖται τὸ “θεῶν”· εἰ γὰρ οὐκ ἔκειτο μάτην, τὸ ἐπαγόμενον τοιοῦτον ἂν ἦν· Ποσειδῶνα, Ἀπόλλωνα ἤ τινα ἕτερον. νῦν δέ φησι τὸν Εὐριπίδην, τὸν εἰπόντα τὸ “αἰθέρα Διὸς δωμάτιον ἢ χρόνου πόδα”, δι’ ὃν Εὐριπίδην εἰς Ἅιδου κατελθὼν πάσχω τάδε. ἀπολλύναι] εἰς τό.

sch ran 312 "αὐλεῖ τις ἔνδον" λέγει τὸ "οὗτος". ἔγωγε] ἀκούω.

sch ran 314 μυστικωτάτη] λεπτοτάτη. ἠρεμεὶ] ἠρέμα.

sch ran 316 Ἴακχε : τὸν Ἴακχον οἱ μὲν τὸν ὕμνον ὕμνον οἴονται εἶναι τῇ εἰκάδι τῶν μυστηρίων ᾀδόμενον Κόρῃ καὶ Δήμητρι· συνίδρυται δὲ τῇ Δήμητρι τῇ ἑορτῇ καὶ Διόνυσος, ἀνθ' ὧν ἡ μὲν ξηρῶν καρπῶν δότειρα, ὁ δὲ τῶν ὑγρῶν. ἄλλοι δὲ τὸν Ἴακχον υἱὸν Περσεφόνης φασίν· οἱ δὲ τοῦτόν φασι συγγενέσθαι τῇ Δήμητρι· οἱ δὲ ἕτερον Διόνυσον εἶναι τὸν Ἴακχον, οἱ δὲ τὸν αὐτόν. παίζουσιν] ὑμνοῦσιν.

sch ran 319 ἔφραζε νῶϊν] ἡμῖν ὁ Ἡρακλῆς. ᾄδουσι γοῦν τὸν Ἴακχον : καὶ τὸν ὕμνον· παρ' ὑπόνοιαν δέ φησιν· ὅνπερ Διαγόρας ὁ ἄθεος ὁ ἐκ Μήλου, περὶ οὗ προεγράφομεν· ὃς Τηλεκλύτου μὲν ἦν παῖς, σύγχρονος δὲ Σιμωνίδῃ καὶ Πινδάρῳ.

sch ran 320a καὶ οὕτω μὲν ἔχει τὸ ἀληθές· ἕνεκα τοῦ γέλωτος, ἀγάμενος δὲ καὶ τὸ εὐφυὲς παρατίθημι, ὅ φησιν Ἀπολλόδωρος ὁ Ταρσεύς· "ᾄδουσι γοῦν", φησίν, "τὸν Ἴακχον, ὅνπερ ᾄδουσιν οἱ μύσται μῦσται ἐκ τοῦ ἄστεος διὰ τῆς ἀγορᾶς ἐξιόντες εἰς Ἐλευσῖνα". Ἴακχον κτλ.

sch ran 320b p.i.m.] παρ' ὑπόνοιαν· διὰ τῆς ἀγορᾶς ὤφειλεν εἰπεῖν. διασύρει δὲ τὸν Διαγόραν τὸν ἐκ Μήλου, τὸν ἄθεον. Διαγόρας] ᾖδεν.

sch ran 321 ἄγειν] ἡμᾶς. πολυτιμήτοις δ ' ἐν ἕδραις : ὅτι Κόρη τότε καὶ Δημήτηρ τιμᾶται, καὶ τῇ Δήμητρι, ὡς ἔφην, συνεδρεύει καὶ ὁ Διόνυσος.

sch ran 326 ἐλθὲ τόν δ ' ἀνὰ λειμῶνα χορεύσων : διὰ τὰ ἄνθη γὰρ εἰς λειμωνίας ἐν λειμῶσι ἐχόρευον προφανῶς. ὁσίους] λαμπρούς.

sch ran 329 καὶ αἰτιατικῇ καὶ γενικῇ. στέφανον μύρτων : μυρσίνῳ μυρσινίνῳ γὰρ ἐστεφανοῦντο στεφάνῳ, στεφάνῳ, οὐχὶ κισσίνῳ οἱ ἐστεφανοῦντο οἱ μεμυημένοι, κἂν τοῖς Θεσμοφορίοις ὁμοίως τοιούτῳ στεφάνῳ ἐστέφοντο, ὅτι Δημήτηρ οἰκείως εἶχε πρὸς τὸ τῆς μυρσίνης φυτὸν καὶ ὅτι τοῖς χθονίοις ἱέρωτο.

sch ran 330a καὶ τοῖς Διονυσιακοῖς ὁμοίως μυρσίνῳ μυρσινίνῳ στεφάνῳ ἐστέφοντο διὰ τὸ ἀειθαλές. μύρτος κυρίως τὸ μυρσινόκοκκον.

sch ran 330c θρασεῖ δ ' ἐγκατακρούων ποδὶ : ἐν τολμηρῷ ποδὶ σκιρτῶν καὶ ὀρχούμενος καὶ χορεύων—λείπει τὸ "ποίει" ἢ "πλήρου" ἢ "γέραιρε"—τὴν ἀκόλαστον καὶ μὴ ἀξίαν κολάσεως ἢ μέμψεως, ἀλλὰ σεβασμοῦ καὶ τιμῆς, ἁγνήν, ἱερὰν χορείαν τοῖς ὁσίοισι μύσταις, τὴν χορείαν καὶ χόρευσιν, αὐτὴν τὴν τιμὴν τὴν εἰς τοὺς τὰς θεούς, τὴν φιλοπαίγμονα, χαρίτων πλεῖστον ἔχουσαν μέρος, τὴν ἡδονῆς πλείστης καὶ εὐφροσύνης μετέχουσαν. θρασεῖ] τολμηρῷ.

sch ran 330e ἐγκατακρούων] σκιρτῶν, χορεύων. τὰν .

sch ran 331/32 .. τιμήν] τὴν μὴ κολαζομένην, τὴν μὴ ἀξίαν κολάσεως ἢ μέμψεως, σεβασμοῦ δὲ καὶ τιμῆς. τιμήν] γέραιρε.

sch ran 338 ὡς ἡδύ μοι προσέπνευσε χοιρείων κρεῶν : ἐν ταῖς τῆς Δήμητρος γὰρ ἑορταῖς χοίρους ἔθυον καὶ ἐκρεωφάγουν τοῖς Θεσμοφορίοις καὶ τὸ ζῷον ἔθυον τῇ τε Κόρῃ καὶ τῇ Δήμητρι. ἔθυον δὲ τὸν χοῖρον καὶ ἐν τοῖς μυστηρίοις Διονύσῳ καὶ τῇ Δήμητρι, ὅτι καὶ τῆς Δήμητρος τὰ λήϊα καὶ Διονύσου λυμαίνεται τοῖς φυτοῖς. ἐν ταῖς τῆς Δήμητρος ἑορταῖς χοίρους ἔθυον τῇ Κόρῃ καὶ τῇ Δήμητρι.

sch ran 339 ἤν τι καὶ χορδῆς λάβῃς : οὐκ ἠρεμήσειας οὖν, φησίν, εἰ καὶ ἐντέρου τι λάβῃς βραχύτατον; ἀτρέμ'] πῶς.

sch ran 339c χορδῆς] ἐντέρου. ἔγειρε φλεγέας : ἔγειρε φλεγέας φλογέας λαμπάδας ἐν χερσὶ τινάσσων· ἥκεις γὰρ νυκτέρου τελετῆς φωσφόρος ἀστήρ.

sch ran 340a

τὸ μυστηριακὸν πῦρ φωσφόρον ἐκάλουν ἀστέρα, ὅτι νυκτὶ τὰ μυστήρια ἐγίνοντο. τὸν δὲ λόγον κολοβὸν μηδεὶς ὑπολάβοι εἶναι, ὥς τις εἶπε τῶν παλαιῶν, “εἰ μὴ τὸ “τινάσσων” ἀντὶ τοῦ “τινασσόμενος” λαμβάνεται”· εἰπὲ δὲ καὶ νεκρῷ κειμένῳ τῷ παλαιῷ· “ἄριστά φησιν ὁ Τζέτζης ἔχειν τὸν λόγον καὶ μὴ εἶναι κατὰ σὲ κολοβόν”. εἰ δὲ βούλει, καὶ παιδιωδῶς διὰ σὲ τὴν τοῦδε πᾶσαν συνέπειαν εἴποιμεν. ὦ Ἴακχε, Ἴακχε, ἔγειρε τοὺς θιασώτας δηλονότι, φλεγέας φλογέας καὶ πυρώδεις καὶ ἀνημμένας λαμπάδας τινάσσων ἐν χερσίν· ἥκεις γὰρ καὶ παραγέγονας τῆς νυκτέρου τελετῆς (344) φωσφόρος ἀστήρ· ἐν φλογὶ δὲ τῶν λαμπάδων φλέγεται—νῦν λαμπρύνεται—ὁ λειμών. φλογέας] φλεγέας.

sch ran 341 τινάσσων] τινασσόμενος. νυκτέρου τελετῆς] νυκτερινῆς· τὸ κτητικὸν ἀντὶ ἁπλοῦ.

sch ran 344a φλογὶ] ἐν. φλογὶ φλέγεται] τῶν λαμπάδων.

sch ran 344c λειμών] ὁ. γόνυ πάλλεται γερόντων : ὑπὸ δὲ τῆς ἱερᾶς τιμῆς ἀποσείονται τὰς (347) λύπας τῶν χρονίων τε ἐτῶν, τοὺς παλαιοὺς ἐνιαυτούς, ἤτοι ὑπὸ τῆς ἱερᾶς τιμῆς ἐπιλανθάνονται καὶ θλίψεως καὶ γήρως.

sch ran 351a σὺ δὲ λαμπάδι φλέγων : καὶ φωσφορῶν, ὦ μάκαρ, προβάδην καὶ προπορευόμενος ἔξαγε ἐπ’ ἀνθηρὸν ἕλειον δάπεδον τὴν χοροποιὸν χαροποιὸν ἥβην ἤτοι τοὺς θιασώτας καὶ χορευτάς· ἢ ἔξαγε πάνθηρον ἕλειον δάπεδον. φλέγων] φωσφορῶν.

sch ran 352 προβάδην] καὶ προπορευόμενος. χαροποιὸν] τήν.

sch ran 353b μάκαρ] ὦ. ἀναπαιστικὰ τετράμετρα καταληκτικά.

sch ran 354a παράβασις. εὐφημεῖν χρὴ : εὐφημίαν γενέσθαι χρεών, φησὶν ὁ χορὸς τῶν μυστῶν, ἤτοι δέον κατάρχεσθαι περὶ θεῶν λόγων εὐφήμων καὶ ἱερῶν, ἐξίστασθαι δὲ καὶ ὑποχωρεῖν τοῖς ἡμετέροις χοροῖς ἤτοι ἀπὸ τῶν ἡμετέρων χορῶν ἐκεῖνον, (355) ὃς ἄπειρος τοιῶνδε λόγων μυστηριωδῶν, ἢ μὴ καθαρός ἐστι τῇ γνώμῃ (356) καὶ διανοίᾳ, ἢ γενναίων ὄργια Μουσῶν καὶ μυστήρια οὐκ ἴδε καὶ ἐθεάσατο· ἰωνικῶς ι.

sch ran 354b ὁ δὲ νοῦς· ὃς οὐδὲ ποιητικῆς καὶ σοφίας βάθους μετέσχηκεν ἤτοι σοφὸς καὶ ἔμπειρός ἐστι ποιητικῆς παντοίας καὶ ἑτέρας σοφίας. εὐφημεῖν .

sch ran 354c .. ἐξίστασθαι] εὐφημίαν χρὴ γενέσθαι περὶ θεῶν καὶ ὑποχωρεῖν ἐκεῖνον. τοιῶνδε] μυστηριωδῶν.

sch ran 355b γνώμῃ] διανοίᾳ. εὐγενῶν.

sch ran 356b ὃς οὐδὲ ποιητικῆς καὶ σοφίας βάθους μετέσχηκεν ἤτοι σοφὸς καὶ ἔμπειρός ἐστι ποιητικῆς παντοίας καὶ ἑτέρας σοφίας. μηδὲ Κρατίνου τοῦ ταυροφάγου : παρ’ ὑπόνοιαν τὸ σχῆμα τοῦ λόγου· δέον γὰρ εἰπεῖν· ἐξίτω κἀκεῖνος τῶν ἡμετέρων μυστηρίων, ὃς μὴ τὸ καὶ τὸ ἔγνω μηδὲ ἐτελέσθη τὰ βακχεῖα καὶ τοὺς ἐνθουσιασμοὺς τοῦ ταυροφάγου καὶ Διονύσου, τοὺς μετὰ τῶν βακχῶν αὐτῷ γινομένους ἐν ὄρεσι καὶ ἐρημίαις ἀβάτοις—ταυροφάγον δὲ τὸν Διόνυσον λέγει, ἔλεγεν, ὡς καὶ Σοφοκλῆς φησιν ἐν δράματι Τυροῦς—οὕτω δέον εἰπεῖν οὗτος ὁ ποιητὴς οὕτω παρ’ ὑπόνοιάν φησι· κἀκεῖνος ἐξίτω, ὃς μὴ ἐτελέσθη καὶ ἔγνω καὶ μεμάθηκε τὰ βακχεῖα τῆς γλώττης Κρατίνου τοῦ ταυροφάγου.

sch ran 357a καὶ βακχεῖα μὲν γλώττης φησὶν ἢ εἰρωνικῶς θειασμοὺς καὶ ἐνθέους λόγους τοὺς τοῦ Κρατίνου λόγους καλῶν, ἢ λόγια πεφυρμένα ἡμιμέθυσα, μᾶλλον δὲ κάτοινά τε καὶ ὑποβάκχεια. ταυροφάγον δὲ αὐτὸν εἶπεν, “ὅτι ταῦρος ἦν αὐτοῖς ἔπαθλον”, ὡς πολλοί τε ἄλλοι φασὶ καὶ ὁ μέγας Ἀρίσταρχος· Τζέτζης δὲ διθυραμβικοῖς καὶ λυρικοῖς φησιν ἔπαθλον δίδοσθαι ταῦρον, οὐ μέντοιγε τραγικοῖς ἢ κωμῳδιῶν διδασκάλοις· κωμικὸς δὲ καὶ ὁ Κρατῖνος τελῶν, πῶς ἂν ταῦρον ἐλάμβανε; διὰ δὲ τὸ ὑψηλὸν τῶν τούτου ἐπῶν καὶ βροντόφωνον ταυροφάγον οὗτος τοῦτον καλεῖ· φησὶ γάρ πη ὁ ἀνήρ· ἄναξ Ἄπολλον, τῶν ἐπῶν τῶν ῥευμάτων. καναχῶσι πηγαί,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δωδεκάκρουνον στόμα, Ἰλισσὸς ἐν φάρυγγι· τί ἂν εἴποιμι; τούτων ἕνεκα σύρει τὸν ἄνδρα καὶ Διονύσου ἐπιθέτῳ τοῦτον ἐκάλεσε ταυροφάγον, ἢ ὅτι φίλοινος ἦν. τοῦ ταυροφάγου] τὸν Διόνυσον λέγει. [20]

sch ran 358a ἢ βωμολόχοις ἔπεσι χαίρει : ἢ πολυλογίαις φλυάροις χαίρει μὴ ἐν καιρῷ τοῦτο ποιοῦσι, τὸ βωμολοχεῖν, κατὰ δὲ αὑτοῦ νῦν ὁ κωμικός, ὡς ὁ Βελλεροφόντης, φέρει τὸ γράμμα· φλυαρῶν γὰρ νῦν αὐτὸς σχεδὸν ἐν ὅλῳ τούτῳ τῷ δράματι φλυάρους ἀποκαλῶν τοὺς ἑτέρους κωμικούς φησιν οὕτω— τὸ “ἐξίτω” δὲ ἁπανταχοῦ ἀπὸ κοινοῦ—· καὶ ὃς χαίρει φλυάροις πολυλογίαις κωμικῶν ἐγκαίρως οὐ γινομέναις, ἐξίτω τῶν ἡμετέρων μυστηρίων. βωμολόχοις] φλυάροις. [5]

sch ran 359a ἢ στάσιν ἐχθρὰν μὴ καταλύει : 〈ἐ〉 κ λαυρέων 〈τε〉 καὶ δυσόδμου κοπρίης αὖρά τις εἰσέπνευσε μυστικωτάτη. καὶ ὅς, φησί, στάσεις καὶ ταραχὰς ἐμφυλίους οὐ καταλύει, ἀλλ’ ἕνεκα κερδῶν (361) οἰκείων μᾶλλον ἀνεγείρει ταῦτα τὰ τοιαῦτα καὶ ἀναρριπίζει, ἢ τῆς πόλεως χειμαζομένης ἤτοι συμφοραῖς κατεχομένης καὶ περιστάσεσιν, ἄρχων καὶ (363) ἀρχηγὸς ὤν, δῶρα λαμβάνει, ἢ ἐάν τις Θωρυκίων Αἰγινεὺς εἰκοστολόγος κακοδαίμων καὶ ἄθλιος ἢ προδίδωσι φρούριον ἢ ναῦς ἢ τὸ καὶ τὸ δρᾷ, τούτοις (369) πᾶσιν ἀπαυδῶ καὶ αὐδῶ—τοῦτο προαναφώνημά ἐστι τῶν δᾳδούχων καὶ τῶν ἱεροφάντων μελλόντων τῶν μυστηρίων κατάρχεσθαι, ὡς καὶ ὁ μέγας ἐκεῖνος Ὀρφεὺς ἐν τῷ Ὀργαστηρίῳ φησίν· φθέγξομαι, οἷς θέμις ἐστί· θύρας δ’ ἐπίθεσθε βέβηλοι— (370) ἐξίστασθαι τῶν ἡμετέρων μυστικῶν χορειῶν. ἤδη δὲ καὶ τὰ κατὰ μέρος ῥητέον μοι. στάσιν ἐχθρὰν μὴ καταλύει : διὰ τὸν Θωρυκίωνα, περὶ οὗ μετὰ βραχὺ ἐρῶ, φαίνεται λέγων ταυτί· αἰνίττεται δὲ καὶ Διομέδοντα καὶ Καλλίξενον, οἳ τὴν τοιαύτην ἀνερρίπισαν ἐμφύλιον συμφορὰν παρασκευάσαντες τὴν βουλὴν τοὺς δέκα στρατηγοὺς ἀναιρεῖν. [10]

sch ran 359b ἀνελεῖν. 359 p.

sch ran 359c i.m.] καὶ ταραχὴν ἐμφύλιον. διὰ τὸν Θωρυκίωνα· αἰνίττεται δὲ καὶ τὸν Διομέδοντα καὶ Καλλίξενον, οἳ ἀνερρίπισαν τὴν συμφορὰν ἐν τῇ πόλει ἀναπείσαντες ἀναιρεθῆναι τοὺς στρατηγούς. ῥιπίζει] τὴν πόλιν. [5]

sch ran 361a ἢ τῆς πόλεως χειμαζομένης : μέχρι τοῦ “ ναυσὶν παρέχειν τινὰ πείθε ι ” πάντα κατὰ Θωρυκίωνός φησιν. ὁ Θωρυκίων οὗτος Αἰγινεὺς ὢν τῷ γένει ἐν τοῖς Πελοποννησιακοῖς ταξίαρχος τῶν Ἀθηναίων ἐγένετο, εἰκοστολόγος πρὶν καὶ τελώνης ὑπάρχων καὶ μοίρας τῆς κάτω. οἱ τελῶναι γὰρ πρότερον μὲν δὲ πρότερον πεντηκοστὴν μοῖραν τῶν τελουμένων τελωνουμένων καὶ κομμερκευομένων πραγμάτων ἐλάμβανον καὶ πεντηκοστολόγοι πεντηκοστολόγους ἐντεῦθεν ἐκαλοῦντο, τούτους ἐκάλουν, εἶτα εἰκοστολόγοι, εἰκοστολόγους, μετέπειτα δὲ δεκατηλόγοι· δεκατηλόγους · νῦν δὲ οὗτοι καὶ κατωτέρω προβεβήκασιν. οὗτος ὁ Θωρυκίων Αἴγιναν τὴν ἑαυτοῦ πατρίδα Πελοποννησίοις καὶ ναῦς προδιδοὺς γνωρισθεὶς ἐκωμῳδήθη. πάντα κατὰ Θωρυκίωνός φησιν ἀπὸ τοῦ “ τῆς πόλεως χειμαζομένη ς ” μέχρι τοῦ “ ναυσὶν παρέχειν ἀναπείθε ι” . [5]

sch ran 361c χειμαζομένης] συμφοραῖς κατεχομένης. ἄρχων] ἀρχηγός.

sch ran 362 ἢ τἀπόρρη τ ’ ἀποπέμπει : ἢ ἐξ Ἀθηνῶν ἀποπέμπει τοῖς Λακεδαιμονίοις (363) τὰ ἀπόρρητα καὶ ἀπαγορευθέντα πέμπεσθαι αὐτοῖς. ὅστις οὖν τοιοῦτος ἐξ Αἰγίνης ὑπάρχων τελώνης, εἶτα γενόμενος ταξίαρχος Ἀθηναίων ἐξ Ἀθηνῶν πέμπει πρὸς αὐτοὺς—Λάκωνας—εἰς Ἐπίδαυρον τὰ ἀπαγορευθέντα (364/65) πέμπεσθαι, πίσσαν καὶ ἀσκώματα εἰς ναυπηγίαν καὶ τἄλλα, ἢ χρήματά τινα πείθει διδόναι ναυτικῷ τῶν Λακώνων—ἀσκώματα δέ εἰσι δέρματα ἐρραμμένα εἰς τύπον μέρους ἱματίου, ὅπερ τὰς χεῖρας ἡμῶν μέχρι τῶν καρπῶν περισκέπει· ταῦτα τὰ ἀσκώματα προσηλωμένα τριήρεσιν ἀντὶ λώρου τροποῦ ταῖς κώπαις εἰσὶ χρήσιμα—ὃς τὰ τοιαῦτα ἀπόρρητα

πέμπει τοῖς πολεμίοις, ὡς τὰ θεῖα μυστήρια τοῖς ἀμυήτοις οἱ κάκιστοι τῶν μεμυημένων. εἰκοστολόγος] τελώνης. [10]

sch ran 364 ἀσκώματα κτλ. p.i.m.] αἱ λεγόμεναι χειροπάλλαι, ἅτινα ταῖς κώπαις χρήσιμά εἰσιν ἀντὶ λώρου προσηλωμένα ταῖς τροπαῖς. ἢ ὃς κατατιλλᾷ κατατιλᾷ τῶν Ἑκαταίων : τῶν τῆς Ἑκάτης ἀγαλμάτων.

sch ran 366a "κατατιλλᾷ" "κατατιλᾷ" λέγεται τὸ κόπρον διάρρυτον ἐκκρίνειν· νῦν δὲ τὸ ἀποσπερμαίνειν τῶν τῆς Ἑκάτης ἀγαλμάτων μιγνύμενος αὐτοῖς. κατατιλλᾷ τῶν Ἑκαταίων] ἀφοδεύει· ἢ ἀποσπερμαίνει μιγνύμενος αὐτοῖς.

sch ran 366b διασύρει δὲ τὸν Διαγόραν. τῶν Ἑκαταίων] τῶν τῆς Ἑκάτης ἀγαλμάτων.

sch ran 367a ἢ τοὺς μισθοὺς τῶν ποιητῶν ῥήτωρ ὢν εἶ τ ' ἀποτρώγει : Ἀρχῖνον αἰνίττεται καὶ Ἀργύριον· οὗτοι γὰρ προϊστάμενοι τῆς δημοσίας τραπέζης, κωμῳδηθέντες ἠλάττωσαν τὸν τῶν κωμῳδιοδιδασκάλων μισθόν. Ἀρχῖνον αἰνίττεται καὶ Ἀργύριον, οἵτινες προϊστάμενοι τῆς δημοσίας τραπέζης ἠλάττωσαν τὸν τῶν κωμῳδιοδιδασκάλων μισθὸν καὶ διὰ τοῦτο ἐκωμῳδήθησαν. [5]

sch ran 369 τούτοις ἀπαυδῶ : κατὰ τὴν τοῦ ἱεροφάντου καὶ τοῦ δᾳδούχου τοῦτο πρόρρησιν λέγει· οἱ γὰρ ἱεροφάνται καὶ οἱ δᾳδοῦχοι τῶν μυστηρίων κατάρχεσθαι μέλλοντες οὕτω προανεφώνουν· εἴ τις ἀμύητος σεμνῶν ἐστι τελετῶν ἢ ἄθεος ἢ μὴ καθαρεύων τῇ γνώμῃ, καὶ ἄλλα ἄττα, ὅσα ἠπίσταντο οἱ τοιαῦτα ταῦτα μεμυημένοι, ἐξίτω τῶν ἱερῶν, ὡς καὶ ὁ μέγας ἐκεῖνος Ὀρφεὺς ἐν τῷ Ὀργαστηρίῳ φησίν· φθέγξομαι, οἷς θέμις ἐστί· θύρας δ' ἐπίθεσθε βέβηλοι. χώρει δὴ πᾶς : οἱ τοῦ χοροῦ μύσται ἀλλήλοις παρακελεύονται. [5]

sch ran 372b σπονδειακά. ἐγκρούων : ἤτοι βαίνων ποδῶν εὐρρυθμῷ κρούσει.

sch ran 374b ἐγκρούων] χορεύων. σκώπτων] τοὺς κακούς.

sch ran 376a ἠρίστηται δ ' ἐξαρκούντως : ἀντὶ τοῦ "εἱστιάθημεν", "ἠριστήσαμεν". ἠρίστηται] εὐώχηται.

sch ran 377a ἀλ λ ' ἔμβα χὤπως : ἤγουν κατάρχου τῆς χορείας, ὅπως ὑψώσεις τοῖς αἴνοις τὴν Δήμητραν. ἔμβα] ἔμβαινε.

sch ran 378a ἔστι γὰρ παρ' Ἀθήνησιν Ἀθηνᾶ Σώτειρα λεγομένη, ᾗ καὶ θύουσιν. χὤπως] ὅρα.

sch ran 378c αἴρεις τὴν Σώτειραν] ὑψώσεις ἐν τοῖς ἐπαίνοις Δήμητραν. μολπάζων : ὑμνῶν.

sch ran 380a ἢ] γρ. ἦν. φῆς'] φᾶς'.

sch ran 381a Θωρυκίων] ὁ. Θωρυκίων μὴ βούληται] ὁ γὰρ πόλεμος αὐτῷ ἐλυσιτέλει.

sch ran 382a ἀναπαιστικὰ τετράμετρα. ἑτέραν] κατά.

sch ran 384a Δήμητερ ἁγνῶν : ταῦτα δίμετρα καταληκτικὰ ἰαμβικά, ὡς τὸ τίς σὰς παρήειρε φρένας; Τζέτζης δὲ ἀκατάληκτα μᾶλλόν φησιν. ἰαμβικὰ δίμετρα ἀκατάληκτα.

sch ran 387 μ' ἀσφαλῶς] ἀξίωσον. σπουδαῖα] ἀρετῆς ἐχόμενα.

sch ran 394a ἀσυνάρτητα ἐξ ἰαμβικῶν καὶ τροχαϊκῶν. ὡραῖον θεὸν : τὸν Διόνυσον, τὸν τρυφῆς καὶ συμποσίων αἴτιον, τὸν δοτῆρα ὡραίων καρπῶν· ἢ τὸν κατὰ καιρὸν φαινόμενον· ἢ τὸν διὰ καιροῦ καὶ χρόνου μακροῦ φαινόμενον· τριετηρικῶς γὰρ ἐφαίνετο.

sch ran 398 ἰαμβικά. συνακολούθει : ἐπειδὴ ἐν ταῖς τῆς Δήμητρος τελεταῖς οἱ Ἀθηναῖοι ἐκ τοῦ Κεραμεικοῦ πρὸς τὴν Ἐλευσῖνα ἐχώρουν προπέμποντες τὸν Διόνυσον.

sch ran 403 μέλος χοροῦ. κατεσχίσω : ἐσχισμένα καὶ παρερρωγότα χιτώνια πεποίηκας ἀμφιέννυσθαι.

sch ran 405a καὶ ἐπ' εὐτελείᾳ καὶ φαυλότητι, σμικρότητι καὶ ταπεινώσει τόνδε τὸν σανδαλίσκον καὶ τὸ ὑπόδημα, καὶ τὸ ῥάκος καὶ τὸ τριβώνιον· πάλιν ἀπὸ κοινοῦ τὸ "πεποίηκας ἀμφιέννυσθαι". κἀπ' εὐτελείᾳ] εὐδαιμονίᾳ πρὸς τὸ εὖ τελεῖν.

sch ran 406a καὶ ἐξεῦρες, ὥστε παίζειν καὶ χορεύειν ἀζημίους ἀζημίως ἤτοι μὴ ζημίαν ἐπιφέροντας τῷ δημοσίῳ. βαρέως ταῦτά φησιν οὐκέτι τολμῶν κωμῳδῆσαι Ἀρχῖνον καὶ Ἀργύριον, οἳ κωμῳδηθέντες τοὺς μισθοὺς τούτων ἠλάττωσαν· ὧν ἕνεκα ταῦτά φησιν οὐ μετρίᾳ δήξει καρδίας. οὐκ οἶδα δέ, οἱ παλαιοὶ τί νοοῦντες τὸ “ κατεσχίσ ω ” ἐπιμερισθῆναί φασιν, τὸ δὲ “ ἐ π ’ εὐτελεί ᾳ ” “ἐπ’ εὐδαιμονίᾳ πρὸς τὸ εὖ τελεῖν”. καὶ τὸ ῥάκος] πεποίηκας ἀμφιέννυσθαι.

sch ran 408 πρόπεμπέ με : ἀπ’ ἄστεος δῆθεν εἰς Ἐλευσῖνα· τότε δὲ τοῖς ἀνδράσι καὶ γυναῖκες συνεχόρευον. παραβλέψας : ἐπιτηρήσας.

sch ran 409b γὰρ] ἤδη. τιτθίον : μαστόν.

sch ran 414 ἰαμβικὰ κατὰ δύο δίμετρα καταληκτικὰ καὶ ἓν τρίμετρον ἀκατάληκτον. ὃς ἑπτέτης ὢν οὐκ ἔφυσε φράτορας : συγγενεῖς.

sch ran 418a τὸ σχῆμα παρ’ ὑπόνοιαν· ἀντὶ γὰρ τοῦ εἰπεῖν “ὃς ἑπτέτης ἑπταετὴς ὢν ὀδόντας οὐκ ἔφυσεν”, ὡς παροιμία, εἶπεν “ ὃς ἑπτέτης ὢν οὐκ ἔφυσε φράτορα ς” · οἱ παῖδες γὰρ ἑπταετεῖς γεγονότες ἔχουσι πάντας τοὺς ὀδόντας. καὶ ὁ Ἀρχέδημος δὲ οὗτος ὡς ξένος καὶ μέτοικος διαβάλλεται· χρονίσας γὰρ ἐν ταῖς Ἀθήναις ἀναγραφῆναι εἰς τοὺς πολίτας οὐκ ἠδυνήθη. Ἀθηναῖοι δὲ καὶ τὰ ἴδια τέκνα τριετῆ γεγονότα ἐς τοὺς φράτορας ἦγον ἦγον εἰς τοὺς φράτορας καὶ ἐπολιτογράφουν αὐτά, ὡς γαμικὰς ἑστιάσεις ποιούμενοι. χρονίσας γὰρ ἐν Ἀθήναις οὐκ ἐπολιτογραφήθη· Ἀθηναῖοι δὲ τὰ τέκνα καὶ τριετῆ.

sch ran 418c ἔφυσε φράτορας] παρ’ ὑπόνοιαν· ὀδόντας, τοὺς κριτάς. δημαγωγεῖ] ὁ Ἀρχέδημος.

sch ran 420a νυνὶ δὲ δημαγωγεῖ : ἡ τοῦ λόγου συνέπεια· ὃς Ἀρχέδημος ξένος ὢν οὐδὲ κἂν ἐπολιτογραφήθη ἐν ταῖς Ἀθήναις· νυνὶ δὲ δημαγωγεῖ καὶ δημαγωγός ἐστι τῶν ἄνω νεκρῶν, ἤτοι τῶν Ἀθηναίων· τότε γὰρ τὰ πράγματα τοῖς Ἀθηναίοις εἶχε πολλαχῶς δυστυχῶς. ὡς ὢν δὲ ὁ χορὸς οὗτος δῆθεν ἐν Ἅιδου καὶ τοῖς κάτω νεκροῖς, ἄνω νεκροὺς ὀνομάζει τοὺς Ἀθηναίους διὰ τὰς κατεχούσας αὐτοὺς συμφοράς. εἶεν· ὁ παλαιὸς δὲ βλισκούνιος ὁ ἐκ τοῦ κειμένου τοῦδε τοῦ “ ἐν τοῖς ἄνω νεκροῖ ς ” λέγων· “οὐχ ὡς Ἀπολλώνιος πρὸς τὴν ἐξήγησιν τὴν εἰ μὴ νεναυμάχηκε τὴν περὶ τῶν νεκρῶν”, κρεῶν”, καὶ αἰτιώμενος τὸν ἄνδρα περὶ τῶν κρεῶν, “νεκρῶν” δὴ λέγοντα γράφειν ἐκεῖσε—νῦν γὰρ τάχα τὸ κείμενον δείκνυσιν, ὅτι 〈οὐ περὶ κρεῶν,〉 ἀλλὰ περὶ νεκρῶν—ἴτω, ὅτι βλισκούνιός ἐστιν. ἐκεῖ γὰρ οὐ μέμνηται τῆς ναυμαχίας 〈τῆς ἐν Ἀργιννούσαις〉 · περὶ κρεῶν καὶ τῶν οἰκείων σωμάτων ὁ λόγος ἐστίν, ὡς ὄπισθεν οὐκ ἀναποδείκτως ἐξηγησάμην εἰπὼν καὶ περὶ τῶν κρεῶν καὶ τοῖς γε νοῦν ἔχουσι σαφῆ παραστησάμενος τὴν ἀλήθειαν καὶ τὸ 〈“κρεῶν” τοῦ〉 “νεκρῶν” ἐκεῖσε προσφυέστερον δείξας. νῦν δὲ ἐν Ἅιδου ὢν ὁ χορὸς καὶ παρὰ τοῖς κάτω νεκροῖς, ἄνω 〈νεκροὺσ〉 οὖν διὰ τὰς δυσπραγίας τοὺς Ἀθηναίους καλεῖ. ἀλλ’ ἀρίστως ἡ παροιμία φησίν· πολλοὶ μὲν ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι καὶ πολλοὶ βουκένται, παῦροι δέ τε γῆς ἀροτῆρες. ὡς δῆθεν ὁ χορὸς ὢν ἐν νεκροῖς κάτω· ἄνω νεκροὺς διὰ τὰς δυσπραγίας τῶν Ἀθηναίων φησίν.

sch ran 420c νεκροῖσι] τοῖς Ἀθηναίοις. κἄστι τὰ πρῶτα : ὡς ἐπὶ αἴνου τιθέναι εἰώθαμεν “καὶ ἔστι τὰ πρῶτα τῶν ἐκεῖ πολιτῶν”, οὕτω νῦν αὔξων αὐτῷ τῇ κωμῳδίᾳ τὸν ψόγον· καὶ ἔστιν, φησί, τὰ πρῶτα τῆς ἐν Ἀθήναις μοχθηρίας, ἤτοι πολλοὶ μὲν καὶ ἄλλοι ἐν ταῖς Ἀθήναις οἱ λυμεῶνες καὶ μοχθηρότατοι, οὗτος δὲ ὑπερηκόντισε πάντας καὶ τὰ πρωτεῖα τῆς ἐκεῖ μοχθηρίας ἀπείληφεν.

sch ran 421a εἰ γὰρ κἂν τοῖς τοιούτοις ἀντιτείνειν ἐθέλω τοῖς παλαιοῖς καὶ πᾶν ἀποδεικνύειν σαφῶς καὶ ἀσάφειαν τῶν ἐριστικῶν μήκει τοῦ λόγου ποιήσω, καὶ τοὺς χάρτας καταναλώσαιμι καὶ πολλὰ τοῦ κειμένου δεόμενα ἐξηγήσεως ἀληθῶς ἐάσαιμι ἀνεξήγητα καὶ τοῖς εὖ φρονοῦσιν ἀκροαταῖς λάλος καὶ φλύαρος καὶ ἀκαιρομακρήγορος δόξω καὶ περιττός, ὅπῃ μὲν βραχυλογώτερος τῆς τῶν σοφῶν ἑπτάδος ἐκείνης γινόμενος, πῇ δὲ ὑπερλαλῶν Λοκροὺς Αἰθαλίων καὶ μακρότερα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς Ἰλιάδος φθεγγόμενος· τὸν εὐγενῆ γὰρ χρὴ σιγᾶν, ὅπῃ χρή, καὶ λέγειν, ἵν' ἀσφαλές. τὰ πρῶτα] ἀντὶ τοῦ “πρῶτος”.

sch ran 422 τὸν Κλεισθένους δ ' ἀκούω : τὸ κείμενον οὕτως ἔχει, καὶ οὐδεὶς ἀντέτεινε τῶν ἐξηγητῶν· ἐγὼ δέ φημι· “τὸν Κλεισθένη δ' ἀκούω”. περὶ τοῦ Κλεισθένους δὲ προείπομεν, δὲ τοῦ Κλεισθένους τούτου εἴπομεν, ὅτι υἱὸς ἦν Σιβυρτίου καὶ ναυτικοῦ στόλου τῶν Ἀθηναίων κατάρξας ναυμαχίᾳ νενίκηκεν. εἶχε δὲ τρίχας μὲν λείας ἦν δὲ λεῖος μὲν τὸ γένειον ὅδε αὐτὸς ξυρῶν. αἰσχρῶς δὲ νῦν οὗτος αὐτὸν διασύρων φυλάττει τὴν τροπὴν ἀπὸ τῶν περὶ νεκροὺς γινομένων· εἰπὼν γὰρ ἄνω νεκροὺς τοὺς Ἀθηναίους ταφὰς καλεῖ ἀκολούθως τοὺς τόπους, ἐν οἷς τελοῦσι διάγοντες, αὐτάς τε Ἀθήνας καὶ κατὰ μέρος τόπους αὐτῆς, καί φησιν· ἀκούω δὲ καὶ τὸν Κλεισθένην ἐν ταῖς ταφαῖς, αἷς ἔφημεν δηλονότι, τίλλειν τὸν πρωκτὸν καὶ σπαράττειν τὰς γνάθους. οἱ γὰρ πενθοῦντες νεκροὺς κόμας κεφαλῆς τίλλουσι, σπαράττουσι γνάθους καὶ κόπτονται καὶ θρηνοῦσι κεκυφότες πρὸς γῆν, καὶ ἀνακαλεῖσθαι εἰώθασι φίλους τινὰς κλαίοντες. τοιαῦτα μὲν τοῖς θρηνοῦσι νεκρούς· ὁ δὲ μιαρὸς οὗτος καὶ τῷ ὄντι βδελυρώτατος ὅλως διόλου τῇ τροπῇ ταύτῃ ἐπὶ διηγήσει χρῆται αἰσχροπραξίας αὐτῷ προσφυοῦς. ἐν ταῖς ταφαῖσι] τοῖς κακοῖς τρόποις ἑαυτοῦ.

sch ran 427a Σεβῖνον : παρὰ τὸ βινεῖν καὶ συνουσιάζειν. Ἀναφλύστιος : παρὰ τὸ ἀναφλᾶν καὶ γυμνοῦν τὸ δέρμα τοῦ μορίου.

sch ran 427b ἔστι δὲ καὶ Ἀνάφλυστος δῆμος Ἀττικῆς. καὶ Καλλίαν γέ φασι τοῦτον τὸν Ἱπποβίνου : τὸ σχῆμα παραγραμματισμός.

sch ran 428a ὁ Καλλίας γὰρ Ἱππονίκου υἱὸς ἦν· οὗτος δὲ Ἱπποβίνου τοῦτον παραγραμματίζων φησὶν ἱπποβίνου ἤτοι μεγάλως πορνεύοντος· ἵππος γὰρ ἐπὶ μεγάλου λαμβάνεται. τὸ δὲ “βινεῖν” “συνουσιάζειν”. υἱὸς ἦν Ἱππονίκου.

sch ran 429 429 p.i.m.] μεγάλως πορνεύοντος· ἵππος γὰρ ἐπὶ μεγάλου. κύσθου λεοντὴν : δορὰν γυναικείου μορίου ἐνημμένον.

sch ran 430b κύσθου] γρ. κυάθου. ἔχοι τ ' ἂν οὖν φράσαι νῶϊν : νῷν : Διόνυσος καὶ Ξανθίας ἐρωτῶσι παρ' Ἅιδῃ, ποῦ ὁ Πλούτων οἰκεῖ, ξένοι λέγοντες εἶναι ἀρτίως καὶ πρὸ μικροῦ πεφθακότες· “ἄρτι” γὰρ τὸ “νῦν” σημαίνει, “ἀρτίως” δὲ τὸ “πρὸ μικροῦ” ἀττικῶς· κοινῶς δὲ “ἄρτι” “νῦν”, “ἀρτίως” δὲ “ὑγιῶς, ἀκεραίως”.

sch ran 433 ἀρτίως] πρὸ μικροῦ. ἀλ λ ' ἴσ θ ' ἐ π ' αὐτὴν τὴν θύραν : ἀλλ' ἴσθι καὶ γίνωσκε—λείπει τὸ “ὅτι ὑπάρχεις”—ἐπ' αὐτὴν τὴν θύραν ἀφιγμένος.

sch ran 436a “ ἀφιγμένο ς ” δὲ εἶπεν καὶ οὐκ “ἀφιγμένοι”, ὅτι, εἰ καὶ Ξανθίας καὶ Διόνυσος ἤστην, ἀλλ' εἷς ἐξ ἀμφοῖν ὑπὲρ ἀμφοῖν ἠρώτα. ἀφιγμένος] ὑπάρχεις.

sch ran 438 ἦν] ἐστί· ὁ παρῳχημένος ἀντὶ ἐνεστῶτος. Διὸς Κόρινθος ἐν τοῖς στρώμασι : τοῦτο παροιμία ἐστὶ λεγομένη ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων πολλάκις.

sch ran 439 υἱὸς Διός, Κόρινθος κλήσει, ἀφ' ἑαυτοῦ τὴν Κόρινθον ὠνόμασε Κόρινθον, κτίσας αὐτὴν καὶ βασιλεύσας ἐν αὐτῇ. αὐτῆς. ἄποικοι δὲ οἱ Μεγαρεῖς γενόμενοι Κορινθίων καὶ μὴ φέροντες τὸ τῶν ἐπιταγμάτων τούτων βαρύτατον—μέχρι γὰρ καὶ κηδείας αὐτῆς τῶν νεκρῶν ἐκέλευον ἀνάγειν καὶ ἀναφέρειν αὐτοῖς—ἀπέστησαν ἀπ' αὐτῶν. κῆρυξ δέ τις ἐκ Κορινθίων ἀπεσταλμένος μέλλων ἐξ ἀποστάσεως πρὸς τὴν Κορινθίων αὖθις αὐτοὺς μεταβιβάσαι ὁμόνοιαν, ὡς πολλάκις τὸ “οὐκ ἀνέξεται ὁ Διὸς Κόρινθος” ἔλεγε καὶ οὐδὲν ἕτερον, οἱ Μεγαρεῖς σικχανθέντες ξύλοις καὶ ῥάβδοις συγκόπτοντες ἐξήλαυνον, “παῖε, παῖε τὸν Διὸς Κόρινθον” λέγοντες. ἐπεὶ δὲ καὶ Διόνυσος νῦν καὶ νῦν ὁ Διόνυσος ἀεὶ μνείαν τῶν στρωμάτων ποιεῖται, εἰκότως ὁ Ξανθίας φησί· “ Διὸς Κόρινθος ἐν τοῖς στρώμασ ι” . χωρεῖτε νῦν : οἱ τοῦ χοροῦ ἀλλήλοις παρακελεύονται, χωρεῖτε, λέγοντες, ἀνὰ τὸν ἱερὸν κύκλον καὶ χορὸν τῆς θεᾶς,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Δήμητρος ἢ Κόρης, παίζοντες ἀνὰ τὸ ἀνθοφόρον ἄλσος, ἤτοι τὸν βοτανώδη καὶ ἔνυδρον καὶ κατάφυτον τόπον. [10]

sch ran 440b χωρεῖτε νῦν] οἱ τοῦ χοροῦ ἀλλήλοις παρακελεύονται. θεᾶς] Δημήτρας.

sch ran 442a οἷς μετουσία θεοφιλοῦς ἑορτῆς : ὅσοις θεοφιλοῦς μετοχή ἐστιν εὐσεβείας· μᾶλλον δὲ ἀπὸ τῶν εὐσεβῶν, ὅσοι μεμύησθε καὶ ἐτελέσθητε τὰ μυστήρια τῆς θεοφιλοῦς ἑορτῆς τῆς τε Κόρης καὶ Δήμητρος. οἷς μετουσία] ἐκείνους λέγω.

sch ran 445a εἶμι δὲ καὶ ἔρχομαι, τί ποιήσων; φέγγος καὶ φῶς ἱερὸν οἴσων ταῖς θεαῖς. εἶμι] ἔρχομαι.

sch ran 446a οὗ παννυχίζουσι θεαὶ : οὗ ἡ Κόρη καὶ ἡ Δημήτηρ χορεύουσι, χαίρουσι, παίζουσι, παννύχιον ᾄδουσιν· ἢ ὅπου παρὰ τῶν μυστῶν ὑμνοῦνται παννυχίως ᾀδόντων. παννυχίζουσι] ἀγρυπνοῦσι, χαίρουσι, παίζουσι· ἢ ὑμνοῦνται.

sch ran 446c θεαὶ] ἡ Κόρη καὶ ἡ Δημήτηρ. οἴσων p.

sch ran 447 i.m.] μέλλων. κομίσων ταῖς θεαῖς. τὸν ἡμέτερον τρόπον : ἀντὶ τοῦ “κατὰ τὸν ἡμέτερον τρόπον”· ὡς ἔθος ἔχομεν παίζοντες.

sch ran 450b ἤγουν κατὰ τὴν συνήθειαν παίζοντες. “ἡμᾶς” περιφραστικῶς. ὃν ὄλβιαι Μοῖραι ξυνάγουσιν : ὃν ἡμέτερον καλλιχορώτατον τρόπον ὄλβιαι καὶ μακάριαι καὶ εὐτυχεῖς, ἢ πλέον εὐδαίμονες Μοῖραι συνάγουσιν· ἡμέτερον δὲ τρόπον, “ἡμᾶς” περιφραστικῶς.

sch ran 452a οὕτω μέν, εἰ ἔστιν ἐν τῷ ἐδάφει τοῦ κειμένου λόγου γεγραμμένον τὸ “ ὃ ν. ” εἰ δὲ “ ἣ ν ” ἐστὶ γεγραμμένον, τοῦτον ἔχει τὸν νοῦν· ἣν ἑορτὴν αἱ ὄλβιαι Μοῖραι συνάγουσιν. εἶπε γὰρ ἀνωτέρω· “ οἷς μετουσία θεοφιλοῦς ἑορτῆ ς ” ὃν] γρ. [5]

sch ran 452b ἣν· ἣν ἑορτήν. ὄλβιαι] εὐδαίμονες.

sch ran 456a ὅσοι μεμυήμεθα : ἐτελέσθημεν τὰ μυστήρια τῆς ἑορτῆς, τουτέστιν ἐπέγνωμεν τὰ μυστικὰ καὶ ἀπόρρητα καὶ πρὸς ἀμυήτους ἀνέκφορα. μυστήρια γὰρ λέγεται διὰ τοῦτο, διὰ τὸ μύειν καὶ κλείειν τὸ στόμα τοὺς μεμυημένους καὶ μηδενὶ τῶν ἀμυήτων λέγειν αὐτά. ὅσοι μεμυήμεθ’] ἐτελέσθημεν τὰ μυστήρια.

sch ran 457 διήγομεν] ἐζῶμεν. καὶ τοὺς ἰδιώτας : ἰδιώτας νῦν τοὺς ἰδίους, τοὺς πολίτας· καὶ σημειωτέον ἐντεῦθεν, ὅτι τὸ ἰδιωτικὸν τέσσαρα σημαίνει· ἰδοὺ γάρ, νῦν ἰδιώτας καλεῖ τοὺς ἰδίους, τοὺς συγγενεῖς, τοὺς συμπολίτας.

sch ran 459a πολίτας. ἰδοὺ ἓν σημαινόμενον τοῦ ἰδιωτικοῦ. ἰδιώτης κατὰ δεύτερον λόγον ὁ ἀμαθής. ἰδιωτικὰ τρίτῳ λόγῳ καλοῦνται καὶ τὰ ἀντιδιαστελλόμενα πρὸς τὰ θεῖα, ἤτοι τὰ ἀνθρώπινα, ὡς ὅταν φῶμεν θεῖα χρήματα καὶ ἰδιωτικὰ χρήματα. ἰδιωτικὰ τετάρτως καὶ τὰ δημοτικά, ὡς ὅταν τις λέγῃ χρήματα βασιλικὰ ἢ δημόσια καὶ χρήματα ἰδιωτικά. ἕτερον δὲ δημόσιον καὶ ἄλλο ἕτερον δημοτικόν. ὡς λέγομεν θεῖα χρήματα καὶ ἰδιωτικά. [5]

sch ran 459c ἰδιώτας] συμπολίτας. ἄγε δὴ τίνα τρόπον τὴν θύραν κόψ ω ; τίν α; : τρία εἴδη ἀστεϊσμῶν καὶ χαριεντισμάτων εἰσὶ κατὰ Τζέτζην.

sch ran 460c ἓν μὲν τὸ ὑψηλὸν καὶ σεμνόν, ὃ τέρπει λεγόμενον σοφοὺς καὶ σεμνοὺς ἀκροατάς, ὡς τὰ ἐν ταῖς Νεφέλαις περὶ βροντῶν καὶ κεραυνῶν ἀπομιμήματα φιλοσόφων καὶ περὶ ἑτέρων φυσικῶν καὶ ἄλλων, ἢ πάντων ἁπλῶς, ὧν ἐκεῖ ἀπομιμεῖται, μέχρι καὶ ἀπομιμήσεως ἐκφωνημάτων φιλοσόφων, ὡς τὸ μὰ τὴν Ἀναπνοήν, μὰ τὸ Χάος, μὰ τὸν Ἀέρα, “ σκαλαθυρμάτι α” , “ ἐπιλησμότατον γερόντιο ν” , καὶ ὅσα ἐκεῖ ἕτερα φθέγγεται, ἃ δαίμων καὶ οὐδεὶς ἀνδρῶν ἐδίδαξεν. ἓν εἶδος χαριεντίσματος τοῦτο τὸ ὑψηλὸν καὶ σεμνόν· δεύτερον τὸ ἀγοραῖον καὶ βάναυσον καὶ αἰσχρόν, ἔχον προσφόρους καὶ τοὺς αὐτῷ τερπομένους, ὡς νῦν ἡ καταρχὴ πᾶσα τῶν Βατράχων καὶ ἡ ἐκεῖ φλυαρία Ξανθίου καὶ ἀνάφορον καὶ εἰ μή τις ἀφέλοιτο αὐτό, οἷα ποιήσειε, καὶ πρὸς αὐτοῖς τὰ αἰσχρά, ἃ ῥήτορα διηγεῖσθαι εἴργνυσι νόμος, εἰ μὴ κωμῳδὸς ὁ

ῥήτωρ ἐστίν. τρίτον δὲ εἶδος χαριεντίσματος τὸ μέσον, ὃ πάντας ἐπίσης τέρπειν ἰσχύει, ὥσπερ ἔχει τοῦ Διονύσου τοδί, τὸ “ τίνα τρόπον τὴν θύραν κόψ ω; ” ἆρα γὰρ οὐ μέσης χάριτος τοῦτο, σεμνοὺς καὶ σοφούς, αἰσχροὺς καὶ ἀγοραίους, καὶ μέσους τέρπειν ἰσχύον, ἀκούσαντάς τινος λέγοντος “τίνι τρόπῳ κρούσω τὴν θύραν, καὶ πῶς οἱ ἐγχώριοι ἐνθαδὶ κρούουσι τὰς θύρας;” ἢ εἴπερ ἠρώτα· “πῶς ἄρα περὶ τὰ θεῖα διάγουσιν οἱ ἐγχώριοι; ποίοις χρῶνται τοῖς νόμοις;” ἢ ἁπλῶς περί τινος πράγματος τῶν πάντῃ ἀδήλων, ἢ μέσων; κόπτουσι] τὰς θύρας.

sch ran 462 διατρίψῃς] βραδύνῃς. λῆμμα ἡ ἀνδρεία, λῆμμα τὸ δῶρον, καὶ λῆμα τὸ φρόνημα.

sch ran 465 ὦ βδελυρὲ] ἐπὶ σώματος. κἀπήξας] καὶ ἀπεκόμισας.

sch ran 469a ἔχει μέσος : δίκην παλαιστῶν κατεσχέθης. ἀλλὰ .

sch ran 469b .. μέσος] ἡ μεταφορὰ ἀπὸ τῶν ἀθλητῶν. ἔχῃ] συνέχει.

sch ran 470a μελανοκάρδιος : μέλαινα, ἢ ἡ μελαίνουσα τὰς καρδίας· ἢ ἔμψυχον τὸν λόγον ποιεῖ καρδίαν λέγων ἔχειν τὴν πέτραν τοῖς μορμολυγμοῖς ἐκταράσσων εἰς πλέον. τοῖα] λείπει “ἁμαρτήματα”.

sch ran 471 αἱματοσταγὴς] ὅστις βαδίζει ἐκεῖσε, στάζει αἷμα. Κωκυτοῦ τε περίδρομοι κύνες : ὁ Ἀχέρων καὶ ὁ Κωκυτὸς μυθικῶς ποταμοὶ ἐν Ἅιδου λέγονται εἶναι, περίδρομοι δὲ Κωκυτοῦ κύνες πανταχοῦ περιτρέχουσαι αἱ Ἐριννύες.

sch ran 472a Ἐρινῦς. Κωκυτοῦ] ποταμοῦ.

sch ran 472c περίδρομοι] ταχεῖς. Ἔχιδνά : δαίμονά τινα πλάττουσιν ἄνω μὲν μορφὴν ἔχουσαν γυναικός, τὰ κάτω δὲ σπείρημα μυρίων ὄφεων ἔχουσαν.

sch ran 475a ταρτησία μύραινα : Ταρτησὸς πόλις μεγάλη, βασίλειον τῆς ἰσπανικῆς Ἰβηρίας, ἔγγιστα τοῦ ἑσπερίου ὠκεανοῦ, μυραίνας, ἰχθῦς μεγίστας, ἔχουσα· νῦν δὲ παρ’ ὑπόνοιαν τῆς χάριτος ἕνεκεν ἀντὶ τοῦ εἰπεῖν “ἔχιδναν” “μύραιναν” εἶπεν. ταρτησσία μύραινα] πόλις Ἰβηρίας· παρ’ ὑπόνοιαν· “ἔχιδναν” ὤφειλεν εἰπεῖν.

sch ran 477 τιθράσιαι : Τίθρας υἱὸς Πανδίονος, ἀφ’ οὗ δῆμος Ἀττικῆς εἰσιν οἱ Τιθράσιοι τῆς Αἰγηίδος Αἰγηῖδος φυλῆς, πάνυ δὲ πικρότατοι· ὅθεν εἶπε “ Γοργόνες τιθράσια ι” . τίς ἀγνοεῖ δὲ τὰ τῶν Γοργόνων; οὗτο ς , τί δέδρακα ς; : παρεπιγραφὴ τὸ σχῆμα.

sch ran 479a Διόνυσος γὰρ πλάττεται διὰ τὸ δέος τῶν ῥημάτων ἐξιδικὼς καὶ κατατετιληκὼς τὰ ἱμάτια· ἰδὼν δὲ τοῦτο ὁ Ξανθίας ἐρωτᾷ· τί πεποίηκας; καὶ ὁ Διόνυσος λέγει τὸ πεπραγμένον· πρὸς ὃ γελῶν ὁ Ξανθίας λέγει “ κάλει θεό ν” , ἤτοι τὸν τοσούτῳ δειλότατον καὶ ἐξ ἀπειλῆς μόνης ἀποπατήσαντα ὀνόμαζέ τις θεόν· ἢ ὅτι ἐν τοῖς ληναϊκοῖς ἀγῶσι τοῦ Διονύσου ὁ δᾳδοῦχος κατέχων λαμπάδα λέγει· “καλεῖτε θεόν” καὶ οἱ ὑπακούοντες βοῶσι “Σεμελήιε Ἴακχε πλουτοδότα”· ἢ πρὸς τὸ ἐν ταῖς θυσίαις ἐπιλεγόμενον· ἐπειδὰν γὰρ σπονδοποιήσωνται καὶ ἐκχῆται ὁ οἶνος, λέγουσι “κάλει θεόν”. ἐπεὶ δὲ καὶ νῦν οὑτοσὶ κάτω χέει σπονδὴν ἑαυτῷ προσφυᾶ τήν, ἣν ἔφην, καλῶς εἰσφορεῖται Ξανθίας καλῶν ἐκεῖνον τὸν τοδὶ δεδρακότα σπονδῆς μετασχεῖν ὡς θεὸν τῆς, οἵα πρέπει. ἐγκέχοδα] ἔχεσα.

sch ran 480 ἀναστήσῃ] ἐγερθῇς· ὁ ἐνεργητικὸς ἀντὶ παθητικοῦ. ἀλ λ ’ ὡρακιῶ : πτοοῦμαι, δειλιῶ· ὡρακία γὰρ δὲ κυρίως ἡ ὠχρίασις, ὡς οὖσα τῆς ὥρας ἤτοι τῆς νῦν καὶ μορφῆς αἰκία καὶ ἀλλοίωσις.

sch ran 481b ὡρακιῶ] δειλιῶ. λαβέ : ἀντὶ τοῦ “λάβε” ἀττικῶς.

sch ran 483b ἰδοὺ λαβέ : λειποθυμῶν ἐκ τοῦ δέους Διόνυσος Ξανθίᾳ παρακελεύεται κομίσαι αὐτῷ σπογγιὰν μεστὴν ὕδατος θερμοῦ· καὶ ὁ Ξανθίας φέρων τὴν σπογγιάν· λαβὲ αὐτήν, τῷ Διονύσῳ φησίν. φησί· καὶ ὁ Διόνυσος δὲ χειρὶ χειρὶ τὴν χεῖρα Ξανθίου λαβών, ἀντὶ τοῦ περὶ τὸν τόπον τῆς καρδίας θεῖναι, τίθησι περὶ τὰ παιδοσπόρα, καί φησι· πρόσθου τὴν σπογγιάν. καὶ ὁ Ξανθίας πρὸς ταῦτα γελῶν· γελῶν φησι · ὦ χρυσοῖ θεοί, φησίν· θεοί · εἶτα ἀποστροφῆς σχήματι τῷ Διονύσῳ λέγει ἐνταῦθ’ ἔχεις τὴν καρδίαν σου; καρδίαν; ἰδοὺ λάβε] ἀττικόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ran 487 πῶς δειλὸς : ὀνειδίσαντος αὐτὸν Ξανθίου καὶ δειλὸν ἀποκαλέσαντος· πῶς, φησίν, ἐγὼ δειλός εἰμι, ὅστις ἐζήτησά σοι σπογγιάν; ἄλλος ἀνὴρ οὐκ ἂν τοῦτο ἐποίησεν. ἀλλὰ τί ἂν ἐποίησεν; φησὶν ὁ Ξανθίας. καὶ ὁ Διόνυσος· κατέκειτο ἂν ὀσφραινόμενος. "ὀσφραινόμενος" νῦν ἢ ἀντὶ τοῦ "ἐκπνευστιῶν", ἢ ὅτι πολλάκις καὶ ὡς ὀσφραινόμενοι κινοῦσι τὴν ῥῖνα οἱ δειλαινόμενοι καὶ ὡσπερεὶ δι' αὐτῆς πνευστιῶσιν. ἀπεψησάμην : ἀπελυμηνάμην, ἀπεκαθηράμην τὸν ῥύπον, ἀπεσπογγισάμην. [5]

sch ran 490b ἀπεψησάμην] ἀπεσπογγισάμην. ἀνδρεῖά γ' , ὦ Πόσειδον : εἰπόντος τοῦ Διονύσου· οὐ τὸ καὶ τὸ δέδρακα, φησὶν ὁ Ξανθίας· ἀνδρεῖα καὶ τολμηρά, δηλονότι πεποίηκας πράγματα· εἰρωνευόμενος δέ φησι τοῦτο.

sch ran 491a καὶ ὁ Διόνυσος· οἶμαι νὴ Δία, ἀντὶ τοῦ "μὰ τὸν Δία, ταῦτα, ἃ πεποίηκα, οἶμαι, ἀνδρεῖά εἰσιν." ἀνδρεῖα] πράγματα.

sch ran 492 σὺ δ' οὐκ] ἀνδρεῖα. ἴθι νῦν , ἐπειδὴ ληματιᾷς κἀνδρεῖος εἶ : ὁ Διόνυσος πρὸς Ξανθίαν ταῦτά φησι λέγοντα μὴ δεδειλιακέναι.

sch ran 494a ὁ δὲ νοῦς τούτων· ἐπειδὴ ληματιᾷς καὶ ἀλαζονεύῃ καὶ λήματος καὶ φρονήματος—νῦν τύφου καὶ κενοδοξίας—ἀνάμεστος εἶ· ἢ ἐπεὶ ληματίας καὶ φρονηματίας ὑπάρχεις, φέρε ὑπαλλάξωμεν ἀλλήλων τὸ σχῆμα τὰ σχήματα τῆς στολῆς, καὶ σὺ μὲν γενοῦ εἰς τύπον ἐμόν, ἤτοι οἷον Διονυσοηρακλῆς, ἐγὼ δὲ Ξανθίας· καὶ μεταμείβουσιν εὐθὺς τὰ ἀλλήλων καὶ ὁ Διόνυσος μὲν γίνεται δῆθεν Ξανθίας καὶ τοῖς ὤμοις αἴρει τὰ στρώματα, ὁ δὲ Ξανθίας Ἡρακλῆς· ὃν ὁ Διόνυσος, ἀντὶ τοῦ ἐκ Μελίτης εἰπεῖν Ἡρακλέα, (501) παίζων ἐκ Μελίτης μαστιγίαν καλεῖ. ὅμως εἰς ἀγαθὸν τῶν πραγμάτων (503) ἀποβαινόντων τῷ Ξανθίᾳ καὶ θεραπαινίδων τῆς Περσεφόνης καλουσῶν αὐτὸν πρὸς τὴν Περσεφόνην φιλοφροσύνῃ μεγίστῃ, Διόνυσος τὴν τούτου εὐκληρίαν οὐκ ἐνεγκὼν πάλιν τὸν σχηματισμὸν ὑπαλλάττει· καὶ πάλιν αὐτῷ δυσχερῆ συναντήματα. ἀλλὰ καὶ τὰς λέξεις νῦν μετιτέον μοι. (494) ἀνδρεῖος : τολμηρός· ἐπὶ ψυχῆς δὲ λέγεται ἀνδρεία, ῥώμη δὲ καὶ (496) ἰσχὺς καὶ εὐσθένεια ἐπὶ σώματος. ἀφοβόσπλαγχνος : καρδίαν ἄφοβον (497) ἔχων· θρασυκάρδιος. σκευοφόρος ἐν τῷ μέρει : ἐν τῷ μέρει καὶ ἐκ (498) μέρους σκευοφόρος, ὑπηρέτης καὶ τὰ στρώματα βαστάζων. φέρε δὴ καὶ βάσταζε ταχέως αὐτά τῷ Διονύσῳ φησὶν ὁ Ξανθίας. οὐ γὰρ ἀλλὰ : τὸ " οὐ γὰ ρ " ἀντὶ τοῦ "καὶ γάρ"· ὁ "ἀλλά" δὲ παρέλκει. λημματιᾷς (sic)] κενοδοξεῖς. [15]

sch ran 496 ἀφοβόσπλαγχνος] θρασυκάρδιος. αὖτ'] δειλιάσω.

sch ran 498b πειστέον] ἄξιον πεισθῆναί σοι. ούκ Μελίτης μαστιγίας : Μελίτη δῆμος Ἀττικῆς ἀπό τινος νύμφης σχοῦσα κλῆσιν, ᾗ ἐμίγη Ἡρακλῆς· καὶ τὰ μικρὰ μυστήρια ἐκεῖ ἐμυήθη.

sch ran 501a ἔστι δὲ ἐκεῖ καὶ Ἡρακλέος ἱερὸν ἐπιφανέστατον καὶ ἄγαλμα Ἡρακλέος, ἔργον Γελάδου τοῦ Ἀργείου, ὃς ἦν Φειδίου διδάσκαλος. εἰπόντος οὖν Ξανθίου· βλέψον εἰς ἐμέ, εἰ δειλὸς ἔσομαι κατὰ σέ, δέον εἰπεῖν· οὔ μὰ Δία, ἀλλὰ ὑπάρχεις ὁ ἐκ Μελίτης Ἡρακλῆς, παρ' ὑπόνοιαν εἶπεν· ὁ ἐκ Μελίτης μαστιγίας, ἤτοι δοῦλος ὁ κατάστικτος καὶ κατάγραπτος σιδήρῳ, ὡς πολλοὺς ἔξεστιν ἰδεῖν τῶν περὶ τὴν ἑῴαν σιδήρῳ στικτὰ γράμματα ταῖς χερσὶν ἔχοντας· οὕτω γὰρ πρὶν ἔστιζον τοὺς οἰκέτας καταχρηστικῶς παραχρηστικῶς δὲ πᾶν εἶδος μαστίξεως στίγματα μαστίγματος στίγμα καλοῦσιν, ὡς τὸ στίγματα, Χριστέ, συμπαθῶς καὶ μώλωπας ἤνεγκας. λέγει δὲ παρ' ὑπόνοιαν. [10]

sch ran 501c μὰ] οὔ. ούκ Μελίτης μαστιγίας] "Ἡρακλῆς" ὤφειλεν εἰπεῖν.

sch ran 502 φέρε —παρέλκει— τὰ στρώματα αἴρομαι ταδ ί . ἡ γὰρ θεὸς : ἡ Περσεφόνη, ὡς ἐπύθετο καὶ ἔμαθε καὶ ἤκουσε περὶ σοῦ· καὶ σημείωσαι διὰ τοὺς λέγοντας διαφορὰν πεύσεως καὶ ἐρωτήσεως, οἰομένους τὴν πεῦσιν ἐρώτησιν ἀεὶ σημαίνειν, μᾶλλον κυρίως μάθησιν καὶ ἀκρόασιν σημαίνουσαν.

sch ran 504b ἡ γὰρ θεὸς] ἡ Περσεφόνη. ἐπύθετ’] ἔμαθε.

sch ran 505a ἔπεττεν : ἐζύμου. κατερεικτοῦ : ἔτνους ἀληλεσμένου κυάμου, ὡς ἐγίνωσκον· ὄπισθεν ὄπισθε δὲ μικρὸν εὗρον· ἔτνους τοῦ πίσσου ἤτοι τοῦ καλουμένου αὔχους. ἔπεττεν] ἐζύμου.

sch ran 505c κατερεικτῶν] κυάμων. ἀπηνθράκιζε : σταθευτόν, ὀπτὸν τὸν βοῦν ὅλον ἐποίει.

sch ran 506b ἀπηνθράκιζ’ ὅλον] ὀπτὸν ἐποίει ὅλον τὸν βοῦν. πλακοῦντας : μελίπηκτα παντοῖα.

sch ran 507a κολλάβους : ἐξ ἄρτων, μᾶλλον δ’ ἐκ ζύμης ποικίλματα, εἰς θέσιν κολλάβων, πασσαλίσκων κιθάρας, τυπούμενα, οὓς νῦν καλοῦσι σιλιγνίας καὶ σησαμοῦντας, κἂν μιαρός τις ἡμᾶς καὶ τούτου ἕνεκα διασύρει, ὅτι τῆς τῶν ἀκροατῶν ἕνεκα ὠφελείας καὶ ἐπιγνώσεως τὸ πᾶν σαφηνίζομεν, ὡς εἰς τὴν Λυκόφρονος φάλλαιναν· ἐπεξηγησαμένου γάρ μου καὶ εἰπόντος ἐκεῖ· “φάλλαινα μέν ἐστι ζωΰφιον ταῖς λυχνίαις ἐπιπετόμενον καὶ σβεννύον αὐτάς, ὃ καὶ ψώρα καὶ ψύχη καὶ πυραυστούμορος λέγεται, ὃ κανδηλοσβέστρα παρ’ ἰδιώταις καλεῖται· ἔστι δὲ φάλλαινα καὶ ἰχθύς, περὶ ἧς ὁ Λυκόφρων φησίν,” ἀλλ’, ὦ διασύρων ταῦτα τράγου υἱέ, σεληνιαζόμενε, δαιμονῶν καὶ ἐπίληπτε, ὁ φάλλαιναν εἰπὼν τὸ αὐτὸ καὶ ψύχην καὶ ψώραν καὶ πυραυστούμορον, εἶτα ἐπενεγκὼν τὸ “κανδηλοσβέστρα”, οὐκ ἀδαημοσύνῃ τοῦτο καὶ ἀπορίᾳ λέξεων εἴρηκα, ἀλλ’ ἐφιέμενος σαφῶς γράφειν καὶ ὠφελεῖν καὶ τὴν τυχοῦσαν δύσνουν ἐφερμηνεύων τῶν λέξεων. εἰ δὲ κομπηραῖς, μετεώροις καὶ ξενωτέραις ἐβούλετο κεχρῆσθαι ταῖς λέξεσι, πάντως οἱ τῆς ὑμῶν κουστωδίας ὁμοῦ συνελθόντες συνιέναι μίαν τῶν τζετζικῶν λέξεων οὐκ ἂν ἐδυνήθησαν· τοῦτο δέ ποτε καὶ πεπόνθασι τὰ ἀκροκόρυφα ὑμῶν καὶ πρωτόλεια ἑνὶ παιγνιώδει χωλῷ ἰάμβῳ ἐμῷ μηδεμίαν λέξιν νοήσαντες, πεπλασμένας δ’ εἶναι ταύτας ὑποτοπάσαντες, ὡς μάρτυς τοῦ λόγου ὁ νῦν δρουγγάριος τούτοις συνεθισθεὶς ἐρωτῆσαι περὶ τῶν λέξεων, αἳ ἦσαν αἵδε· πίσυγγε, τέμνε τὰς λαιθάργους ἀρβύλας, ἡρωϊκὴν Μοῦσαν δὲ μὴ καταισχύνῃς. ἀλλ’ ἔτι πρὸς τὸν ἀλιτήριον καὶ παλαμναίῳ κατάσχετον δαίμονι· τῆς κανδηλοσβέστρας τὸ τί αἰτιᾷ; τὸ “κανδήλαν” ἢ τὸ “σβεστραν”; ἀλλ’, οἴομαι, σέ τε καὶ τὴν σὴν κουστωδίαν τοῦτο μόνον διέλαθεν ἀνεγνωκέναι Τεῦκρον τὸν Χαλδαῖον καὶ Βαβυλώνιον καὶ τὴν ἐκείνῳ συντεταγμένην Σφαῖραν τὴν Βάρβαρον, ἐν ᾗ περὶ τῶν παρανατελλόντων ἄστρων ζῳδίοις διδάσκει, τούτων δῆθεν λέγων ἀποτέλεσμα· ἐκεῖσε γάρ φησιν οὑτωσί· “ἐκ μοίρας ιη′ μέχρις καὶ κ′ ὅλης ὁ φέρων τὰ λίνα ποιεῖ κανδηλάπτας καὶ λαμπαδαρίους.” ἰδού, τὰ νῦν σοι τῷ σκοτεινῷ τὰς φρένας κανδήλας εἰσήνεγκα πρὸς φῶς τοῦ λόγου· σβεστηρίους δὲ μηχανὰς ὑπερτρέχειν εὕροις ἐν αὐτοῖς τοῖς λόγοις Φιλοστράτου ἔλαιον, οὗ σκώληκας ἐξ Ἰνδῶν λέγει. κἂν κοινὴ πάνυ καὶ βάρβαρος ἦν ἡ λέξις λυσιτελοῦντος ἕνεκα τεθειμένη, οὐκ ἔδει λαθραίως ἡμῶν καταφλυαρεῖν. “δαιμόνιοι, μαίνεσθε”· ἐᾶτε ἡμᾶς ἠρέμους διάγειν τῷ θόλῳ· ὑμεῖς συμμορίας καὶ κουστωδίας συνεπαγόμενοι ἄλλος ἄλλῳ ὑμῶν ἀντερίζετε καὶ ἕκαστος ἑκάστου καταληρεῖτε. ἀλλά μοι πάλιν τὸν λόγον προσαρμοστέον, ὅθεν ἀπέσπασα. πλακοῦντας] μελίπηκτα. [35]

sch ran 507c κολλάβους] σησαμοῦντας. κάλλις τ’ , ἐπαινῶ : τῇ θεραπαίνῃ τῆς Περσεφόνης ὡς Ἡρακλῆς ὁ Ξανθίας φησί· κάλλιστα, ἃ λέγεις, εἰσίν, ἐπαινῶ αὐτά· λείπει δὲ τὸ “ἐγὼ δ’ οὐκ εἰσελεύσομαι”· ἢ τὸ “ ἔπαιν ῶ ” ἀντὶ τοῦ “παραιτοῦμαι”, ὡς τὸ νῆ’ ὀλίγην αἰνεῖν, μεγάλῃ δ’ ἐνὶ φορτία θέσθαι.

sch ran 508b κάλλιστ’, ἐπαινῶ] 〈οὐκ〉 ἀποδέχομαι, παραιτοῦμαι. οὐ μὴ περιόψομαι : οὐ παρίδω, παραβλέψομαι, παραδράμω, ἐάσω.

sch ran 510a ἀνέβραττεν : ἑψοῦσα ἦν καὶ ἀναβράζειν αὐτὰ ταῖς χύτραις ἐποίει. τραγήματα : ἀρτίδια διάφορα, τὰ μὲν ἡδύσμασι συμπεφυρμένα καὶ πεφρυγμένα, τὰ δὲ πολυελίκτῳ ζύμῃ ποικιλίᾳ ζύμης συμπεπλεγμένα καὶ οὕτω φρυγόμενα, ὡς ἐσθιόμενα εἶεν ξηρότερά τε καὶ ἐπίκροτα.

sch ran 510c τραγήματα] ἀρτίδια διάφορα. κῷνον : καὶ οἶνον.

sch ran 512a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάνυ καλῶς : πάλιν ὁ Ξανθίας παραιτεῖται τὴν εἰσέλευσιν. τὸ δὲ “ ληρεῖς ἔχω ν” , τὸ “ἔχων” περισσόν. ἔχων] περισσόν.

sch ran 513 οὐ γάρ ς ’ ἀφήσω : τοῦτο ὅλον φασί τινες τῆς θεραπαίνης εἶναι, τὶς δὲ τὸ “ ληρεῖς ἔχω ν ” μέχρι τοῦ “ οὐ γάρ ς ’ ἀφήσ ω ” Διονύσου εἶναι λέγει κατέχοντος χειρὶ τὸν Ξανθίαν καὶ οὐκ ἐῶντος σὺν τῇ θεραπαίνῃ αὐτὸν εἰσελθεῖν, τὸ δὲ “ καὶ γὰρ αὐλητρὶ ς ” πάλιν τῆς θεραπαίνης. ἀλλ’ ἰστέον, ὡς ὅλος ὁ λόγος τῆς θεραπαίνης ἐστίν, κἂν ἀντὶ τοῦ λέγειν τὴν θεράπαιναν “ ληρεῖ ς” , Διονύσου τὸν λόγον ἐνόμισεν εἶναι, ἀνοίκειον οἰηθεὶς τὸν λόγον τῆς θεραπαίνης τῷ δῆθεν Ἡρακλεῖ, ὅτι “ληρεῖς”. ἀλλ’ ἴστω, ὅτι, εἰ καὶ τὸ “ληρεῖς” “φλυαρεῖς” ἐνοεῖτο καὶ ὕβρις, ὡς νῦν πᾶσι νομίζεται, οὐκ ἦν ἀπεικὸς συμπαίζουσαν τὴν θεράπαιναν Ἡρακλεῖ, ὡς ὄντι ἀστείῳ, τοῦτο εἰπεῖν, ὅπου γε τὸ “ληρεῖς” κυρίως τὸ “πολυλογεῖς” λέγει, ἀπὸ τῶν ἀειρρόων λήρων ἤτοι κρουνῶν. ὁ Διόνυσος δὲ κατωτέρω μικρὸν τοῦτό φησι τὸ “ ἐπίσχες οὗτο ς” . αὐλητρὶς ἥ δ ’ ἔνδον ἐστὶ : 〈ἥδε ἔνδον ἐστὶ〉 καὶ αὐλητρίς.

sch ran 513/14 τοῖς σχεδεκδόταις καὶ λυμεῶσι τεχνῶν λογικῶν μὴ δοίης 〈“ἤδη” καὶ〉 αὐτίκα, ὡς τὰ μακρὰ οὐκ ἐκθλίβεσθαι μετὰ μυρίων παραδειγμάτων πολλάκις ἔδειξα. ἡβυλλιῶσαι : νεάνιδες ἡβῶσαι.

sch ran 516b κἄρτι παρατετιλμέναι : νεοξυρεῖς τὸν δορίαλον, τὸν μύρτον, τὸν χοῖρον, τὸν κύσθον, καὶ ὅσα τοιαῦτα ὁ Σώφρων καὶ ὁ Ἱππῶναξ καὶ ἕτεροι λέγουσι. ἡβυλλιῶσαι] ἡβῶσαι, ἀκμάζουσαι.

sch ran 516d παρατετιλμέναι] ἐξυρισμέναι. τεμμάχη : τεμάχη : τὰ τμήματα, τὰ κόμματα, τὰς μερίδας.

sch ran 517a ἔα δὲ τοὺς κενολογοῦντας καὶ κρέας μὲν τὴν κρεώδη μοῖραν σημαίνειν φαμένους, τέμμαχος δὲ τὸ τμῆμα τὸ τῶν ἰχθύων, ἠπατημένους δὲ ἐκ Πλούτου τῷ τὸν κωμικὸν ἐκεῖ φάσκειν· 〈πολὺ〉 χρῆμα τεμμαχῶν καὶ κρεῶν ὠπτημένων. ἐκεῖ γάρ φησιν ἢ κρέα ὁλόκληρα ὀπτᾶσθαι, ὡς ἄρνας, λαγωούς, χοιρίσκους, καὶ τεμμάχη ἤτοι τμήματα μεγάλων ἰχθύων, οἳ καὶ ἰχθῦς τεμμαχῖται καλοῦνται, ἢ καὶ μερίδας κρεῶν ἐκεῖσε εἶπεν ὀπτᾶσθαι· καὶ ἰχθύας εἰ εἶπεν ἁπλῶς, ἔδοξεν ἂν περὶ τῶν σμικρῶν ἰχθύων λέγειν καὶ τῶν τυχόντων· διὰ δὲ τοῦ εἰπεῖν τεμμάχη ἔδειξεν, ὅτι μεγάλους φησὶ καὶ τεμμαχίτας ἰχθύας. γράφεται καὶ ἐπὶ τῶν μικρῶν, γράφεται καὶ ἐπὶ τῶν μεγάλων.

sch ran 518 εἰσήρετο] προσεφέρετο. ὁ παῖ ς: ὁ δοῦλος, ἀντὶ τοῦ “ὦ δοῦλε”.

sch ran 521 ὁ Ξανθίας τῷ Διονύσῳ λέγει ὡς δούλῳ ἀκολουθεῖν. καὶ ὁ Διόνυσος· ἐπίσχες, Ξανθία. οὔ τί που πω σπουδὴν ποιεῖς : ἀντὶ τοῦ “ἀληθῶς τοῦτο ποιεῖς”, ὅτι παίζων ἐποίησά σε Ἡρακλέα; σπουδὴν ποιεῖς] σπουδαῖον ἔργον, κατὰ τὸ πρέπον.

sch ran 524 ἔχων] παρέλκει. ἀράμενος οἴσεις τὰ στρώματα : ἀντὶ τοῦ “οἶσον”.

sch ran 526a οὐ δήπου μ ’ ἀφελέσθαι : καὶ καὶ ἀφελεῖν καὶ ἀπ’ ἐμοῦ ταῦτα λαβεῖν, (527) Διόνυσε, φησὶν ὁ Ξανθίας, νοεῖς; καὶ ὁ Διόνυσος· οὐ διανοοῦμαι, Ξανθία, ταῦτα ἀφελέσθαι, ἀλλ’ ἤδη ἐκ σοῦ ἀφαιροῦμαι αὐτά. καὶ ὁ Ξανθίας· (528) ἀφαιρῇ, ἀφαιρεῖς, φησίν, ἀπ’ ἐμοῦ, Διόνυσε; μαρτύρομαι καὶ μάρτυρας δίδωμι, ἢ (532) ἀνακαλοῦμαι τοὺς θεούς, ὡς συντόμως ἂν ἐμοῦ δεηθείης, ἂν ὁ θεός— νῦν ἡ εἱμαρμένη καὶ τύχη—θέλοι. δήπου] ἆρα.

sch ran 527 οὐ τάχ’] διανοοῦμαι. ἐπιτρέπω] ἀνατίθημι.

sch ran 531 ἔσῃ] υἱός. εἰ .

sch ran 533 .. θέλοι] ἐκ παραλλήλου τὸ αὐτό. τροχαϊκά.

sch ran 534b ταῦτα μὲν πρὸς ἀνδρός ἐστιν : ὁ χορὸς ἑωρακὼς τὸν Διόνυσον, ὅτι, ὅτε μὲν κατεβροντήθη τῷ φόβῳ τῶν Αἰακοῦ λόγων, γέγονε δοῦλος, Ξανθίαν δὲ μετεσκεύασεν εἰς δεσπότην, νῦν δὲ ἀπηντηκότος εὐτυχήματος τῷ Ξανθίᾳ καὶ ὡς Ἡρακλεῖ καλουμένῳ παρὰ τῆς Περσεφόνης ἑστιαθῆναι λαμπρῶς, πάλιν ἀντήλλαξε τὴν σκευὴν καὶ ἑαυτὸν μὲν δεσπότην ἐποίησε, τὸν δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ξανθίαν δοῦλον, φησί· δεξιοῦ πρὸς ἀνδρὸς—ἡ “πρός” περισσή—δεξιοῦ καὶ περιδεξίου καὶ φρονοῦντος ἀνθρώπου ἐστὶ καὶ πολλὰ πεπλευκότος ἤτοι πολλὴν ἐμπειρίαν πραγμάτων ἔχοντος μετακυλίνδειν καὶ μετάγειν ἑαυτὸν πρὸς τὸ εὐτυχέστερον· (536) πρὸς δὲ τὸν εὖ πράττοντα τοῖχον εἶπεν ἀπὸ τῶν τυχόντων ἀνθρώπων κινδυνεύειν ἐν πλοίῳ, ὧν οἱ μὲν ἀδρανέστεροι βυθιζόμενον τὸ πλοῖον ὁρῶντες ἢ δακρύουσιν, ἢ τὴν ἐκ τῆς τύχης ῥοπὴν ἀναμένουσιν, οἱ δὲ δραστηριώτεροι καὶ παράβολοι καὶ ὀξεῖς μεταπηδῶσιν ἐκ τοῦ βυθιζομένου τοῦ πλοίου μέρους πρὸς τὸ ἔτι σῳζόμενον. καὶ πολλὰ περιπεπλευκότος] καὶ πολλὴν πεῖραν πραγμάτων ἔχοντος.

sch ran 536 μετακυλίνδειν αὐτὸν ἀεὶ] μεταφέρειν ἑαυτὸν ἀεί. ἢ γεγραμμένην εἰκόνα ἑστάναι : περιδεξίου ἀνδρός ἐστι τὸ μετατρέπειν ἑαυτὸν πρὸς τὸ εὐτυχέστερον ἢ καὶ παρὸ ἑστάναι καὶ ἵστασθαι, ὡς γεγραμμένην καὶ ἐζωγραφημένην εἰκόνα, ἓν σχῆμα λαβόντα, ἢ ἑστῶτα τῇ ζωγραφίᾳ ἢ καθήμενον, ἢ ἐγρηγοροῦντα ἐγρηγορότα ἢ κοιμώμενον, εἰς ἕτερον δὲ σχῆμα μετατραπῆναι μὴ δύνασθαι ἢ τό, εἰς ὃ ἐζωγράφηται.

sch ran 537/38 τοιοῦτοι δέ εἰσιν οἱ χαῦνοι καὶ ἀπράγμονες ἄνθρωποι. τὸ δὲ μεταστρέφεσθαι μεταστρέφειν πρὸς τὸ μαλθακώτερον : τὸ δὲ πρὸς τὸ ἡδύτερον καὶ ἁπαλὸν καὶ μαλακώτερον καὶ τρυφηλὸν μετατρέπεσθαι περιδεξίου καὶ εὐπεριστρέπτου ἀνδρός ἐστι καὶ φύσει Θηραμένους καὶ φυσικῶς ἐκμιμουμένου τὸν Θηραμένην, τὸν καλούμενον διὰ τὸ εὐπερίστρεπτον κόθορνον.

sch ran 538/39 προείπομεν δέ, ὅτι ὁ κόθορνος ὑπόδημά ἐστι προσφυὲς καὶ ἀνδράσι καὶ γυναιξίν, ἢ ἐπαμφοτερίζον καὶ κατάλληλον ὂν δεξιῷ ποδὶ καὶ ἀριστερῷ, οἷά εἰσι μέχρι καὶ νῦν τὰ ἱερατικὰ ὑποδήματα. τίς δὲ ὁ Θηραμένης, ῥητέον μοι. Ἅγνωνος ἦν παῖς, Στηριεὺς τὸν δῆμον, τῶν δήμων, ἢ κατά τινας ἐκ Κέω τῆς νήσου, υἱὸς ποιητὸς τῷ Ἅγνωνι, Θουκυδίδῃ τῷ ἱστορικῷ ἐπαινούμενος. οὗτος ὁ Θηραμένης Εὐριπίδου μαθητὴς ἦν, διδάσκαλος δὲ γέγονεν Ἰσοκράτους τοῦ ῥήτορος· ὃς διὰ τὸ πανοῦργον αὐτοῦ καὶ δραστήριον καὶ τὸ σκολιὸν τῆς γνώμης ἀμφοτεροπρόσωπόν τε καὶ οὐχ ἁπλοῦν καὶ κόθορνος, ὡς εἶπον, καλούμενος ἦν. στρατηγὸς γὰρ γεγονὼς σὺν τοῖς τριάκοντα τοῖς τυραννήσασιν Ἀθηναίων ἰδίᾳ μὲν τὸν δῆμον τῶν Ἀθηναίων κατὰ τῶν τυράννων ἠρέθιζε, ἰδίᾳ δὲ τούτοις κοινολογούμενος κατὰ τοῦ δήμου τῶν Ἀθηναίων αὐτοὺς ἀνερρίπιζεν. οὗτος καὶ μετὰ Διομέδοντος τοῦ Χολαργέως καὶ Καλλιξένου τοὺς δέκα στρατηγοὺς τοὺς ἐν Ἀργιννούσαις ἑλκύσας εἰς δικαστήριον ἔπεισεν ἀναιρεθῆναι ψήφῳ μιᾷ δύο μόνον τινῶν πεφευγότων. εὕρατο δὲ καὶ αὐτὸς τῆς αὑτοῦ γνώμης τέλος ἐπάξιον ἀναιρεθεὶς ὑπὸ τῶν τριάκοντα. κακοτροποῦντα σκαιοτροποῦντα γὰρ γνόντες καὶ δολορραφῆσαι δολορραφεῖν κατ’ αὐτῶν οὐ παυόμενον φαρμάκου πόσει ἀνεῖλον κεκρικότος οὕτω Κριτίου· ὃς Κριτίας, ὡς φέρεται λόγος, καὶ παιδικὰ ἦν Θηραμένει· πίνων δὲ τὴν κύλικα τοῦ φαρμάκου ὁ ἀλιτήριος εἰς τὸν ἀέρα βραχύ τι ἐκ τούτου ἀπεκοττάβησε “τῷ καλῷ Κριτίᾳ” εἰπὼν καὶ εὐθέως ἀπέψυξεν. ἐστι] εἰσίν.

sch ran 540b καὶ ... Θηραμένους] καὶ φυσικῶς ἐκμιμουμένου τὸν Θηραμένην. τροχαϊκὰ ἰαμβικοῖς ἀναμεμιγμένα.

sch ran 542a ἐν στρώμασι (ν ) μιλησίοις : τὸ παλαιὸν ἐν Μιλήτῳ εἰργάζοντο ἄριστα καὶ ἁπαλὰ στρωμνῶν ἐπιβλήματα. μιλησίοις] μαλακοῖς.

sch ran 543a κινῶν : κυνῶν : φιλῶν ὀρχηστρίδα. ἀνατετραμμένος] κείμενος.

sch ran 543c κινῶν] συνουσιάζων. ἀμίδα] κλωκίον.

sch ran 545a ῥεβίνθου : τοῦ αἰδοίου τοῦ οἰκείου δραττόμην καὶ ἡπτόμην. τοὐρεβίνθου] τοῦ αἰδοίου.

sch ran 545c δραττόμην] ἡπτόμην. πὺξ πατάξας : ὅλῃ χειρί γε δακτύλων ἐσφιγμένων, ὃ κόνδυλον λέγουσιν, ἄλλοι γογγύλην.

sch ran 548b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔκοψε γὰρ ἐκ τοῦ χοροῦ τοὺς προσθίους. νῦν τοὺς ὀδόντας τοὺς τομεῖς, τοὺς προσθίους· τὸ σχῆμα τουτὶ δὲ “παρ’ ὑπόνοιαν” μοι κάλει. ὅτι δίκην χοροῦ εἰσιν· ὤφειλεν εἰπεῖν τοῦτο πρός τινας τοὺς τὸν ἴδιον χορὸν ἐκκόψαντας.

sch ran 548c οὕτως εἶπε παρ’ ὑπόνοιαν. Πλαθάνη : πλαθάνη κυρίως ἐστὶν ἡ πλατεῖα σανίς, ἐν ᾗ φύραντες τοὺς ἄρτους τιθέασι· νῦν δὲ ὄνομα δῆθεν μιᾶς τῶν ἐν Ἅιδῃ πανδοκευτριῶν, ἣν ἑτέρα πανδοκεύτρια καλεῖ, ὡς ἂν κατάσχωσιν ὡς Ἡρακλέα δῆθεν τὸν Διόνυσον καὶ δῷ τιμωρίαν, ὧν ἐζημίωσεν αὐτὰς εἰς τὰ ὤνια, προῖκα ταῦτα καταφαγών, ὅτε κατῆλθεν ἐπ’ ἀναγωγῇ τοῦ Κερβέρου.

sch ran 550a πανδοκεῖον : πανδοχεῖον. ἀττικῶς· ἃ δὲ ἡμεῖς ψιλοῦμεν, ἐκεῖνοι δασύνουσιν. πανδοκεῖον] ἀττικόν.

sch ran 553a καὶ κρέα πρὸς τούτοισιν ἀνάβραστα : καὶ ἀναβράζοντα, ζέοντα. θερμά· ἢ ἡμίωμα, ἔτι ἄβραστα. ἀνάβραστ’] λίαν βεβρασμένα.

sch ran 554a ἀνημιωβολιμαῖα : ἕκαστον ἡμιωβόλῳ ἀπεμπολούμενον. τούτοις ὁ Ξανθίας γελᾷ καί φησιν· ἥκει τινὶ κακὸν καὶ δώσει τις δίκην, ἤτοι ὁ Διόνυσος κατεσχέθη Διόνυσε, κατεσχέθης καὶ δώσει δώσεις δίκην. ἀνημιωβολιμαῖα] ἀνὰ ἥμισυ ὀβολοῦ πωλούμενα.

sch ran 556 οὐ μὲν οὖν με προσεδόκας : ὅτι νῦν κοθόρνους καὶ θηλυπρεπῆ φορεῖς ὑποδήματα καὶ οὐχὶ ἡράκλεια, οὐκ ἐδόκεις ἐμὲ ἔτι γνωρίσαι σε; ὁτιὴ] ἐπειδή.

sch ran 557b εἶχες] ἔχεις· ὁ παρατατικὸς ἀντὶ ἐνεστῶτος. τάριχο ς: τοιοῦτον εἶναι πᾶν τάριχος σὺ νόει, κρέας ἁλιστὸν εἴτε μὴν καὶ ἰχθύας· καὶ δὴ χοβὲρ τάριχος ἐς πλέον νόει.

sch ran 558b τάριχος] βερζίτικον. τάλαν] ὦ.

sch ran 560a αὐτοῖς ταλάροις : τάλαροι καὶ ταρσοὶ καὶ ταρροὶ λέγονται οἱ ἐκ σχοίνων πλακέντες μικροὶ καλαθίσκοι, ἐν οἷς τοὺς χλωροὺς τυροὺς ἐντιθέντες ξηραίνουσιν ἢ καὶ πιπράσκουσιν. αὐτοῖς] σύν.

sch ran 561a τἀργύριον ἐπραττόμην : τὸ νόμισμα τῶν αὐτῷ βεβρωμένων ἀπήτουν. ἐπραττόμην] ἐζήτουν.

sch ran 562 κἀμυκᾶτό τε : γε : καὶ κλείσας τὸ στόμα ἐπαπειλῶν μοι μυκηθμὸν ἤτοι ταύρου βοὸς βοὴν ἄσημον ἔπεμπε διά τε μυκτήρων αὐτῶν καὶ κεκλεισμένου τοῦ στόματος. τούτου πάνυ τὸ ἔργον : ὁ Ξανθίας ταῦτά φησιν ὑπανάπτων κατὰ Διονύσου πλέον αὐτάς.

sch ran 563 ὁ δὲ νοῦς τούτου πάνυ σαφέστατος· τούτου πάνυ τὸ ἔργον τὸ κατεσθίειν τὰ ἀλλότρια πράγματα. οὗτος ὁ τρόπος αὐτοῦ, ἤτοι τὸ κατεσθίειν αὐτὰ προῖκα καὶ ἄνευ ὠνῆς. καὶ τὸ ξίφος δ ’ ἐσπᾶτο μαίνεσθαι δοκῶν : καὶ τὸ ξίφος ἐσπᾶτο καὶ ἀνέσπα καὶ ἀνεῖλκεν εἷλκεν ἐκ τοῦ κουλεοῦ καὶ τῆς ξιφοθήκης, ὥσπερ οὐ σωφρονῶν καὶ ὑγιαίνων τὰς φρένας, ἀλλὰ μαινόμενος καὶ οὐκ εἰδώς, ὅ τι καὶ δρᾷ.

sch ran 564b ἐσπᾶτο] ἀνεῖλκε. νὴ Δία : φησὶν ὁ Ξανθίας πρὸς τὴν πανδοκεύτριαν, ὅτι, ναὶ μὰ τὸν Δία, αὐτὸς οὕτω δρᾷ πανταχοῦ.

sch ran 565a εἶτα ὡς συναλγυνόμενος αὐτῇ, ἵνα μᾶλλον ἀνάψῃ πρὸς πλείονα τὸν θυμόν, φησὶν ἀναφωνῶν· ὦ τάλαινα, οἷα πέπονθας δηλονότι. κἀκείνη πρὸς τὸν Ξανθίαν ὡς ἐπιμελέστερον αὐτῆς ἀκροώμενον λέγει· νῶ νὼ δὲ καὶ ἡμεῖς δείσασαι ἐπὶ τὴν κατήλιφα εὐθὺς ἀνεπηδήσαμεν καὶ ἀπεδρασκάσαμεν ἐπὶ τὴν κατήλιφα καὶ τὴν φλιάν, φλ ο ιάν, ἤτοι ὑπερπηδήσασαι τὴν φλιὰν φλοιὰν εἰς τὸ ἐνδότερον τῆς οἰκίας ἀπεκρύφημεν· ἀπεκρύβημεν · ἢ ἐπὶ τὴν κλίμακα. ὁ δέ, ἐξαγαγὼν τὰς ψιάθους τοῦ πανδοκείου δηλονότι, λαβὼν αὐτὰς ᾤχετο. ναί, ἀληθῆ λέγετε.

sch ran 565c δείσασα] δείσασαι. ἢ τὴν φλιάν, ἢ τὴν σκάλαν.

sch ran 566b κατήλιφ’] κατήλιφα. κατήλιφ’] φλιάν.

sch ran 566c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεσόδμην. ἀλ λ ’ ἐχρῆν τι δρᾶν : ἤτοι χρεὼν νῦν αὐτὸν τιμωρῆσαι.

sch ran 568b ἐχρῆν] ὑμᾶς. κάλεσον Κλέωνα τὸν προστάτη ν .

sch ran 569/70 σὺ δὲ Ὑπέρβολον : ὡς πικροὺς μάτην διασύρει ὁ ἀλιτήριος τὸν τοιοῦτον καὶ ῥήτορα καὶ στρατηγὸν Κλέωνα καὶ τὸν Ὑπέρβολον, εἰς ὃν Εὔπολις ἔγραψε τὸν Μαρικᾶν. τότε γὰρ τεθνηκὼς ἦν ὁ Κλέων· ἀλλὰ καὶ Ὑπέρβολος ὑπὸ Σαμίων ἀνῄρητο ναυμαχῶν πρὸς αὐτούς. Ὑπέρβολος μὲν νῦν ὄνομα κύριόν ἐστι στρατηγοῦ· ὑπέρβολος δέ ἐστι καὶ μέγιστος λίθος, τίσι χρήσιμος οὐκ ἐπίσταμαι, ψεύδεσθαι δὲ οὐ μεμάθηκα· καὶ ἴσως ἐπὶ τοῦ λίθου τοῦ τοιούτου νῦν τις τὸ “ὑπέρβολον” δεξάμενος οὐχ ἁμάρτῃ εἰπὼν οὕτω· σὺ δέ, ἐὰν ἐπιτύχῃς καὶ τυχαίως εὕρῃς λίθον τοιοῦτον, οὐ κάλεσον, ἀλλὰ κόμισον, ὡς τοὺς ὀδόντας τούτου συντρίψῃ τοὺς φαγόντας αὐτῆς τὰ φορτία. ὑπέρβολον] λίθον μέγαν.

sch ran 571 φάρυγξ] λάρυγξ. γομφίους : τοὺς μυλίτας ὀδόντας.

sch ran 573a κόπτοιμι : συνθλῴην, συνθραύοιμι. τὰ φορτία] τὴν ἐνθήκην.

sch ran 574 βάραθρον : ὄρυγμα φρεατῶδες Ἀθήνησιν, οὗ τοὺς κατακρίτους καὶ τοὺς κακούργους ῥιπτοῦντες ἀνῄρουν. σημειωτέον περὶ φάρυγγος καὶ λάρυγγος.

sch ran 575 τὸν λάρυγγα ἕνα δοκοῦσιν οἱ πολλοὶ εἶναι καὶ τὸν φάρυγγα· δύο δέ εἰσιν ἔσω τοῦ τραχήλου τροφῆς καὶ πόσεως ὄργανα. κώλικας : ἄρτους ἢ ἔντερα.

sch ran 576a ᾧ λάρυγγι τοὺς κώλικας κατέσπασας καὶ καταβέβρωκας. ᾧ] τῷ λάρυγγι.

sch ran 576c κόλικας] ἔντερα ἢ ἄρτους. κατέσπασας] κατέφαγες.

sch ran 577 αὐτοῦ] ὑπ’ αὐτοῦ. ἐκπηνιεῖται : ἐξελκύσει, ἐκβάλῃ αὐτὰ προσκαλούμενος αὐτὸν εἰς δικαστήριον δηλονότι· πηνιεῖται δὲ τὸ “ἑλκύσει”, ἀπὸ μεταφορᾶς τῶν ἐριουργουσῶν γυναικῶν, αἳ ἐν τῷ πένεσθαι καὶ ἐργάζεσθαι σύρουσαι ἐκ τῆς ἠλακάτης τὸ ἔριον νήθουσιν.

sch ran 578b πηνίον τὸ νῆμα τῆς ἀράχνης· ὥσπερ γοῦν ἐκεῖνο τὸ πηνίον ἐκ τοῦ στόματος ἐκείνης ἐξέρχεται, οὕτω, φησί, καὶ ὁ Κλέων ἐκπηνιεῖται ἤτοι ὡς πηνίον ἐξελκύσεται ἐκ τοῦ στόματος αὐτοῦ τὰ καταβροχθέντα φορτία. πηνίον τὸ τῆς ἀράχνης νῆμα, ἢ ἡ μέταξα.

sch ran 578d ἐκπηνιεῖται] ἐξάξει, ἐκβάλῃ, ἐξελκύσει. προσκαλούμενος] αὐτὸν εἰς δικαστήριον.

sch ran 579 κάκισ τ ’ ἀπωλόμην : εἰ μὴ φιλῶ, φησί, τὸν Ξανθίαν, ὁ Διόνυσος, κάκιστα ἀπωλόμην, ἀντὶ τοῦ “ἀπολοίμην”, φιλοποιούμενος πάλιν αὐτὸν ὡς πτοηθείς. ὁ δὲ Ξανθίας· οἶδα, φησί, τὸν νοῦν σου καὶ τὸν σκοπόν, καὶ σιώπα. οὐκ ἂν γενοίμην Ἡρακλῆς τοῦ λοιποῦ· πῶς γὰρ ἂν δοῦλος ὢν καὶ θνητὸς Ἡρακλῆς γενοίμην, Διὸς υἱὸς καὶ Ἀλκμήνης; θυμοῖ] θυμαίνῃ.

sch ran 584b θυμοῖ] η. κἂν εἴ με τύπτῃς : ἀττικῶς· κἂν εἴ με, κἂν ἐάν με τύπτῃς, οὐκ ἀντιλέξω σοι, ἀλλ’ ἤν σε τοῦ λοιποῦ χρόνου ἀφέλωμαι δηλονότι τὴν Ἡρακλέους (587) σκευήν, πρόρριζος καὶ πανωλεθρίᾳ ἀπολοίμην αὐτὸς καὶ ἡ γυνὴ καὶ τὰ (588) παιδία, καὶ ὁ γλάμων καὶ ὁ βδελυρὸς Ἀρχέδημος· ἢ γλάμων ὁ λήμης μεμεστωμένος τοὺς ὀφθαλμούς.

sch ran 585 κωμῳδεῖ δὲ νῦν Ἀρχέδημον, ἕνα τινὰ τῶν Ἀθηναίων, ὁ βδελυρὸς μηδὲν ἔχων, ὡς ἔοικεν, ἄλλο εἰπεῖν κατ’ αὐτοῦ, ἢ ὅτι μόνον λήμας εἶχε τοῖς ὀφθαλμοῖς. ἀλλ’ εὖ γε ὑμῖν γένοιτο, Ἀρχῖνέ τε καὶ Ἀργύριε, ὅτι τοὺς μισθοὺς τουτωνὶ τῶν φλυάρων ἐμειώσατε, τοὺς λυρικοὺς δὲ καὶ τοὺς μετιόντας διθύραμβον, ὅτι θεοὺς ὕμνουν καὶ ἀθλητὰς ἄνδρας ἱεροὺς ἀγῶνας νικῶντας, τιμῶντες ἅτε δικαίως τῇ ἐν πρυτανείῳ σιτήσει. πρόρριζος] καὶ ῥιζόθεν.

sch ran 588a γλάμων ὁ λήμης μεμεστωμένος τοὺς ὀφθαλμούς. γλάμων] βδελυρός.

sch ran 590 τροχαϊκά. τοῦ θεοῦ μεμνημένον : τοῦ θεοῦ τοῦ Ἡρακλέος βλέπειν σε δεῖ τὸ δεινὸν καὶ καταπληκτικόν.

sch ran 593b δεινὸν] καταπληκτικόν. μεμνημένον] σε τοῦ Ἡρακλέος καὶ μνείαν ποιοῦντα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ran 594a ᾧπερ εἰκάζεις σεαυτόν : ᾧ Ἡρακλεῖ νῦν ὁμοιοῖς σεαυτὸν λεοντὴν καὶ ῥόπαλον ἔχων καὶ πᾶσαν τούτου σκευήν, διονυσιακοὺς δὲ μόνον κοθόρνους. ᾧπερ] τῷ Ἡρακλεῖ.

sch ran 595a βάλῃς τι μαλθακόν : εἰσενέγκῃς, δείξῃς χαῦνον. βάλῃς] ῥίψῃς, εἴπῃς.

sch ran 595c μαλθακόν] ἀσθενές. συννοούμενος] ἤγουν συννοοῦμαι.

sch ran 600 ῇ τι] ἐπέλθῃ μοι. πειράσεται] ὁ Διόνυσος.

sch ran 601b ὅτι] παρέλκον. παρέξω] παραστήσω.

sch ran 603a ἀνδρεῖον τὸ λῆμα : παράσχω ἐμαυτόν, φησὶν ὁ Ξανθίας, ἀνδρεῖον καὶ γενναῖον καὶ τολμηρὸν κατὰ τὸ λῆμα καὶ τὸ φρόνημα, καὶ βλέποντα ὀρίγανον, δριμύ, σοβαρόν, ἐπηρμένον καὶ ἄγριον. παροιμία ἐπὶ ἀγρίων· "βλέπει νάπυ".

sch ran 603c ὀρίγανον] δριμύ. ὁρᾶν γανῶς καὶ λαμπρῶς. δεῖν δ ' ἔοικεν : ἔοικε δὲ καὶ φαίνεται δεῖν καὶ ἁρμόδιον τὸ μετασκευάσαι με εἰς οἷον εἰρήκειν, ὡς καὶ ὅτι ἀκούω τῆς θύρας δὴ ψόφον.

sch ran 604b δεῖν] φοβεῖσθαι. ὡς] ὅτι.

sch ran 604d καὶ δὴ] παρέλκον. ψόφον] τόν.

sch ran 605 τὸν κυνοκλόπον : ὡς Ἡρακλέα κλέψαντα τὸν Κέρβερον παρακελεύεται τοῖς οἰκέταις αὐτοῦ Αἰακὸς δεσμεῖν τὸν Ξανθίαν. ἥκει τῷ κακόν : ἐπεισέφρησε καὶ εἰσῆλθεν, ἐπιγίνεται κακόν τινι, ἤτοι τῷ Ξανθίᾳ ἐπιγέγονε νῦν συμφορά, καὶ κατασχεθεὶς τιμωρίαν ὑπόσχῃ.

sch ran 606a ταῦτα δὲ ὁ Διόνυσος λέγει μειδιῶν κατασχεθέντος Ξανθίου. τοῦτο γὰρ καὶ Ξανθίας προλαβὼν ἔπραξε Διονύσου πολυπραγμονουμένου. τῷ] τινί.

sch ran 607a οὐκ ἐς κόρακα ς; : οὐκ εἰς ὄλεθρον καὶ ἀφανισμὸν ἀπορραγείητε; μὴ πρόσιτον : μὴ προσέλθετε, μὴ πλησιάσητε, ὡς δύο τινῶν προσερχομένων καὶ κατασχεῖν μελλόντων αὐτόν. ἄλλως τε καὶ ἐπὶ πληθυντικῶν δυϊκῶς φασιν Ἀττικοί, ὡς τὸ ὅσοι θεοί εἰς' ἐν Ὀλύμπῳ ἆσσον ἰόντε, καὶ τὸ ὦ Λύκιοι, πόσε φεύγετον; νῦν θοοὶ ἔστον. εἶεν : παρολκή. [5]

sch ran 607b καὶ μάχομαι, μάχει, φησὶν Αἰακός, ἤτοι ἀντιτείνεις τοῖς σε κατασχεῖν θέλουσιν; καὶ καλεῖ ἅμα πλείονας οἰκέτας τοῦτον κατασχεῖν (608), Διτύλαν, Σκεβλύαν, Παρδόκαν. καὶ ὁ Διόνυσος ἐπιγαννύμενος καὶ (610) σκιρτῶν τούτοις φησίν· οὐχὶ δεινὰ ταῦτα, τὸ "τοῦτον τύπτειν κλέπτοντα τὰ ἀλλότρια;" τὸ δὲ "εἶτα" παρέλκει. καὶ ὁ Ξανθίας πρὸς τὸ "οὐκ εἰσὶ δεινὰ (611) τὸ τύπτεσθαι τοῦτον"; καὶ μάλα, φησίν, εἰσὶν ὑπερφυᾶ καὶ μέγιστα δεινά. (612) καὶ ὁ Αἰακός φησι· σχέτλια μὲν οὖν εἰσι καὶ δεινά, ἤτοι ἃ εἰργάσω καὶ ἃ πάσχεις νῦν. τὸν δὲ συναλοιφὴν τὸ "μ'ἀλλά" φάσκοντα ἔα, ποίοις κεραυνοῖς ἀνὴρ ἐκεῖνος ἐβόσκετο. εἶεν καὶ] παρέλκει. [10]

sch ran 608 ὀνόματα δούλων. πρὸς] συν–.

sch ran 611b μάλ' ὑπερφυᾶ] εἰσὶ μεγάλα. σχέτλια .

sch ran 612 .. δεινά] ἃ εἰργάσω καὶ ἃ πάσχεις νῦν. βασάνιζε τὸν παῖδα : ἔταζε, πολυπραγμόνει, ἀνάκρινε, μαστίγου τὸν δοῦλον ἐμοῦ.

sch ran 616a βάσανός ἐστι λυδικὴ λίθος, ἥτις ἡρακλεία λέγεται, ἢ ἀπὸ τῆς Ἡρακλείας πόλεως, ἢ ἀπὸ τοῦ Ἡρακλέος, ὡς ἰσχυρὰ καὶ αὕτη ὡσεὶ ἐκεῖνος, ᾗ προστριβόμενον διακρίνεται τὸ χρυσίον, εἰ καθαρόν ἐστιν εἴτε κίβδηλον. ἐκ ταύτης οὖν τῆς βασάνου λέγεται βασανίζειν τὸ "ἀνακρίνειν" καὶ "πολυπραγμονεῖν" ὁπωσδήποτε, ἢ λόγοις ἢ μάστιξιν. βασάνιζε] ἔταζε, ἀνάκρινε. [5]

sch ran 617 κἄν ποτέ μ ' ἕλῃς ἀδικοῦντα , ἀπόκτεινε : ἐὰν ὁ δοῦλός μου ἐταζόμενος ὑπαίτιον ἀποφήνῃ με τῶν, ὧν με καταιτιᾷ, κτεῖνόν με. ἐν κλίμακι δήσας : ἐνδήσας κλίμακι, ἀντὶ τοῦ "εἰς τὴν "εἰς κλίμακα", ὡς καὶ ὡς Ὅμηρος· κάππεσον ἐν Λήμνῳ ἀντὶ τοῦ "εἰς τὴν Λῆμνον".

sch ran 619a ὑστριχίδι : ὑστριχὶς μάστιξ τίς ἐστιν ἐκ χοιρείων τριχῶν πεπλεγμένη. δέρων : ἐκδέρων, ἐξ οὗ καὶ δορά· δαίρων δὲ ὁ τύπτων, ἐξ οὗ λέγομεν "ἔδαρον".

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ran 621a πλίνθους ἐπιτιθεὶς : πλατείας σανίδας καὶ πλίνθους καὶ βάρη τινὰ κατὰ γαστρὸς τῶν ἐταζομένων ἐτίθουν θέντες αὐτοὺς κατὰ γῆς, ὅπως τῷ τούτων βάρει καὶ ἄκοντες ὁμολογοῖεν, εἴ τι συνειδότες ὑπάρχοιεν. οὕτω δὲ πολλάκις πολλοὶ πιεζόμενοί τινες ἐξεκενώθησαν τὰ σπλάγχνα διαρραγείσης τῆς σφῶν γαστρός. πλίνθους .

sch ran 621b .. πάντα] πλατείας σανίδας καὶ πλίνθους καὶ βάρη. πλὴν πράσῳ μὴ τύπτε μηδὲ γητείῳ : πάλαι μὲν Ἀθηναίων οἱ παῖδες καὶ οἱ Ἀθήναζε πάντες ἐλεύθεροι, εἴ τι πλημμελήσαντες ἑαλώκεσαν μέτριον, καυλοῖς ἐμαστιγοῦντο σκορόδων, πράσων, γητείων· τούτους δὲ μαστίζεσθαι μάστιξιν ἑτέραις οὐ συγκεχώρητο.

sch ran 621/22 νῦν οὖν ἠθικώτερον καὶ γελοίως φησὶν ὁ Ξανθίας· παντὶ τρόπῳ τοῦτον τὸν Διόνυσον τιμώρει, ἄνευ μέντοι τῶν βαρειῶν τιμωριῶν τουτωνί, τοῦ καυλοῖς τε μαστίζειν αὐτὸν πράσων καὶ τῶν γητείων, ἃ τὴν ἀμπελοπράσων νῦν εἴληχε κλῆσιν· ἢ οὖν οὕτως ἐν ἤθει καὶ εἰρωνικῶς εἶπε· παντοίως αὐτὸν ἔταζε, μόνον ἐν πράσῳ καὶ γητείῳ μὴ τύπτε· βαρεῖαι γὰρ αὗταί εἰσιν αἱ πληγαί. ἢ ὀρθῶς οὕτω φησὶ δραστηρίως καὶ ἀνηλεῶς· πασῶν εἴδη κολάσεων τοῦτον τιμώρει μηδὲ παιγνιώδεσι ταῖς πληγαῖς, καθὰ τὰ ἑαυτῶν μαστιγοῦσιν Ἀθηναῖοι παιδάρια, φύλλοις γητείων καὶ πράσων· κἂν ὁμολογήσῃ με τούτων τι δεδρακέναι, λαβὼν σύ με ἀπόκτεινον. γητείῳ] καυλῷ σκορόδων.

sch ran 623 δίκαιος ὁ λόγος · πρὸς ταῦτά ταυτί φησιν Αἰακός· δίκαια λέγεις, κἄν τι μέλος ἢ μέρος τοῦ σώματος τὸν σὸν οἰκέτην λυμανθῆναι συμβῇ, τὸ ἀργύριον τῆς τούτου διατιμήσεως παρ’ ἐμοῦ σοι κείσεται καὶ δοθήσεται. καὶ ὁ Ξανθίας (625) ἕνεκα τοῦ γελοίου φησί· μὴ δῆτα ἐμοὶ ἀργύριον ὑπὲρ αὐτοῦ καταβάλῃς, (626) κἂν πηρωθῇ τι μέρος τοῦ σώματος· βασάνιζε δὲ λαβὼν αὐτόν, κατ’ ὀφθαλμοὺς καὶ ἐνώπιον τῶν ἐμῶν ὀφθαλμῶν, ἤτοι ὁρῶντος ἐμοῦ. πηρώσω] βλάψω.

sch ran 624 κείσεται] παρ’ ἐμοῦ ἀποδοθήσεται. ἐμέ γε] πηρώσῃς.

sch ran 626 αὐτὸν] τὸν Διόνυσον. κατάθου ταχέως : ἀπειλητικῶς καὶ ὀργίλως Αἰακὸς Διονύσῳ παρακελεύεται καταθέσθαι τὰ στρώματα, ἵνα παραδῷ τοῦτον τοῖς βασανίζουσιν.

sch ran 627b χὤπως ἐρεῖς : λείπει “καὶ φρόντισον”, πῶς μηδὲν ψεῦδος ἐνταῦθα ἐρεῖς, ἤτοι ἐνώπιον ἐμοῦ ἢ ἐν τῷ Ἅιδῃ. χὤπως] ὅρα.

sch ran 628 ἀγορεύω τινὶ : ἀντὶ τοῦ “σοί, Αἰακέ”. σεαυτὸν αἰτιῶ] ἀττικὸν αἰτιατικῇ.

sch ran 631 Διός p.i.m.] υἱός· ἢ Διός, ὡς τὸ “ἡ Ἀθηνᾶ τοῦ Διός” καὶ “ἡ νεαρ (lac.) τοῦ δεῖνος.” τοῦτον δὲ δοῦλον : ἀπὸ κοινοῦ δὲ τὸ “φημί”.

sch ran 633 καὶ πολύ γε μᾶλλόν ἐστι μαστιγωτέος : μὴ ὥς τις κοιμώμενος σχολιογράφος εἴπῃς καὶ σύ· “τοῦτό φησι τῷ Ξανθίᾳ· ἀντὶ τοῦ “ὄντως εἶ δοῦλος;” ”, ἀλλὰ τῇ χρήσει τοῦ ἐπιφερομένου κειμένου χειραγωγούμενος χώρει πρὸς τὴν ἀλήθειαν λέγων· ταυτὶ Ξανθίας φησὶν Αἰακῷ διὰ τὸν Διόνυσον· λέγει σοὶ οὗτος, ὦ Αἰακέ, ὡς ἔστι θεὸς καὶ οὐ δεῖ μαστίζεσθαι. καὶ πολύ γε μᾶλλον ἄξιος μαστίγων ἐστίν· εἰ γὰρ θεός ἐστιν, αἴσθησιν οὐ σχῇ τῶν πόνων τετυμμένος. τί δῆ τ ’ ἐπειδὴ : τί δῆτα, φησὶν ὁ Διόνυσος, ὦ Ξανθία, οὐ τύπτομαι, τύπτει—ἀττικῶς δίφθογγον—καὶ σὺ τὰς ἴσας πληγὰς ἐμοί, ἐπεὶ καὶ σὺ λέγεις εἶναι θεός; ὅλον γέλως βάναυσος, οὐκ αἰσχρὸς τόδε· οὐδ’ αὖ σοφοῖς πέφυκε προσφυὴς γέλως.

sch ran 637 χὠπότερον ἂν νῷν : νῷν : καὶ ὁποῖον ἂν νῶϊν νῷν καὶ νῶϊν καὶ ἡμῖν ἤτοι ἡμῶν τυπτόμενον ἴδῃς κλαύσαντα ἢ προτιμήσαντα καὶ φροντίσαντα συνόλως, τοῦτον ἡγοῦ μὴ θεόν. προτιμήσαντά] φροντίσαντα τῶν πληγῶν.

sch ran 642 δικαίως] ἐξ ἴσου. σκόπει νῦν : σκόπει, φησὶν ὁ Ξανθίας, ὦ Αἰακέ, ἐὰν τυπτόμενον ἴδῃς ἐμὲ παρακινήσαντα, ἀντὶ τοῦ παρακινηθέντα, μετατραπέντα, ἢ τοπικῶς ἀπὸ τόπου εἰς τόπον μεταστάντα, ἢ μεταμείψαντα τὴν χροιὰν ταῖς ὀδύναις ταῖς ἐκ τῶν πληγῶν, ἢ δακρύσαντα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ran 644a καὶ δὴ πατάξαντος αὐτὸν Αἰακοῦ ἐρωτᾷ· (645) ἤδη ἐπάταξας, ἐμὲ δηλονότι; προσποιούμενος δὲ γενναιότατα καὶ ὅτι οὐδὲ συνόλως οὐδὲ συναίσθησιν ἔσχεν ὀδύνης, ὀδύνης ὅλως, οὕτως Αἰακὸν ἐρωτᾷ. ὁ δέ· οὔ μὰ Δία, φησὶ μειδιῶν, οὐκ ἐπάταξα, ἤτοι· εἰ σὺ λαβὼν τὴν πληγὴν ἐρωτᾷς, ὡς μὴ φροντίσας αὐτῆς, εἰ ἐπατάχθης, οὐδ’ ἐγώ φημι, ὅτι ἐπάταξά σε. ὑποκινήσαντ’] παρασαλευθέντα, παραλαλήσαντα.

sch ran 646a πηνίκα : πληγῇ παρ’ Αἰακοῦ παταχθεὶς καὶ ὁ Διόνυσος λέγει· πηνίκα καὶ πότε δηλονότι πατάξεις; ταῦτα δὲ καὶ οὗτός φησι τὸ γενναῖον ὑποκρινόμενος καὶ ἀνάλγητον. καὶ ὁ Αἰακός· ἐπάταξά σε, φησί. καὶ ὁ Διόνυσος· εἶτα πῶς οὐκ ἐπτάρην, ἤγουν οὐκ ᾐσθόμην; ὁ γὰρ πταρμὸς κεφαλῆς ἐστιν αἴσθησις. ἢ ἐπειδὴ οἱ θίγοντες τοῦ μυκτῆρος λεπτῷ κάρφει εἰς πταρμὸν κινοῦνται. φησὶν οὖν· ἥψατό μου ἡ πληγή, ὃν τρόπον ἅπτεται κάρφος τοῦ μυκτῆρος. πηνίκα;] καὶ πότε πατάξεις ἐμέ; οὐκ ἔπταρον] οὐκ ᾐσθόμην.

sch ran 649a οὔκουν ἀνύσει ς; : ἀνύσαι ς; : οὐκ ἀνύσεις, οὐ σπεύσεις τύπτειν ἐμέ; ὁ Ξανθίας γενναῖον καὶ ἀνδρικόν τι ἐνδεικνύμενος Αἰακῷ παρακελεύεται σπουδαιότερον τύπτειν αὐτόν· πληγεὶς δὲ καὶ ὀδυνηθεὶς τῇ πληγῇ “ἰατταταί” “ἰατταταῖ” βοᾷ. ἐρωτήσαντος (650) δὲ τοῦ Αἰακοῦ· τί τὸ “ἀτταταί” “ἀτταταῖ” ἐστίν; μῶν ὠδυνήθης καὶ βοᾷς; ὀδύνης βοή; οὔ, φησὶν ὁ Ξανθίας, τὸ ὃ νῦν ἐγὼ ἀνεβόησα “ἀτταταί”, “ἀτταταῖ”, βοὴ ἄλγους καὶ ὀδύνης ἐστίν, (651) ἀλλὰ θαυμασμοῦ καὶ θειασμοῦ· ἐνεθυμήθην γάρ, ὁπότε γίνεται τὰ Ἡράκλεια καὶ ἡ ἑορτὴ Ἡρακλέος ἡ διὰ τὸν Δίομον ἐρώμενον ὄντα Ἡρακλέος, ἃ γίνεται ἐν τοῖς Διομείοις, δήμῳ Αἰγηίδος φυλῆς, ἀπὸ Διόμου τοῦ νῦν ῥηθέντος λαβοῦσι τὴν κλῆσιν. περὶ τῶν Ἡρακλείων οὖν ἐνθυμηθεὶς τούτων τῶν τελουμένων διὰ τὸν Δίομον ἐθείασα καὶ εἶπον τὸ “ἀτταταί”, “ἀτταταῖ”, οὐχ’ ὡς ὀδυνώμενος. τὸ “ἀτταταί” “ἀτταταῖ” γὰρ λέξις τῶν μέσων μέση ἐστὶν ἐπί τε βοῆς ὀδύνης λαμβανομένη καὶ θαυμασμοῦ. τὰ τῇδε γελοῖα βάναυσα πάντα καὶ ἀγοραῖα. οὐκ ὀδύνης, ἀλλὰ θαυμασμοῦ βοὴ καὶ θειασμοῦ τὸ “ἰατταταί”, ὁ Ξανθίας φησίν.

sch ran 649c οὔκουν ἀνύσεις;] οὐ σπεύσεις τύπτειν ἐμέ; ἰατταταὶ] φεῦ· καὶ ἐπὶ ἐκπλήξεως.

sch ran 650 ἐφρόντισα] ἐνεθυμήθην. Διομείοις] διὰ τὸν Δίομον.

sch ran 652 ἄνθρωπος οὗτος ἱερός : μειδιῶν τοῦτό φησιν Αἰακὸς τὸ τοῦ Ξανθίου δῆθεν καρτερικὸν καὶ γενναῖον, ὅτι τῷ τύπτεσθαι ἀλγῶν καὶ “ἰατταταί” “ἰατταταῖ” βοῶν, μὴ ἀλγῶν λέγει τοῦτο βοᾶν, ἀλλ’ ἐνθυμούμενος ἑορτῶν. ἰοὺ ἰού : ὁμοίως ἐπὶ θρήνου καὶ θαυμασμοῦ λέγεται.

sch ran 655a προτιμᾷς οὐδέν : οὐ φροντίζεις οὐδόλως. προτιμᾷς] φροντίζεις.

sch ran 657 “οἴμοι” βοήσαντος Ξανθίου ἐρωτᾷ Αἰακός, τί ἐστιν· καὶ Ξανθίας ἀνατείνας τὸν πόδα ὡς πατήσας ἄκανθαν καὶ διὰ τοῦτο δῆθεν βοήσας δείκνυσι τὴν πτέρναν καὶ ἐξελεῖν τὴν ἄκανθαν λέγει. Ἄπολλον , ὅς που Δῆλον : ὀδυνηθεὶς τῇ πληγῇ ὁ Διόνυσος· “ Ἄπολλο ν ” βοᾷ· ἵνα μὴ δὲ ἐξ ὀδύνης νομισθῇ λέγειν τὸ “Ἄπολλον”, εἰς ᾠδὴν τοῦτο μετέτρεψεν ἐκ στίχων συντεθειμένην Ἀνανίου ἰαμβογράφου, ἥτις ἐστὶν αὕτη· Ἄπολλον, ὅς που Δῆλον ἢ Πυθῶν’ ἔχεις, ἢ Νάξον ἢ Μίλητον ἢ θείαν Κλάρον ἵκου καθ’ ἱερῶν, ἢ Σκύθας ἀφίξεαι.

sch ran 659a ἴαμβον δὲ Ἱππώνακτος τὸν Ἀνανίου λέγει συγχυθεὶς δῆθεν ὑπὸ τῆς ὀδύνης τῶν πληγῶν. ἔχεις] κατοικεῖς.

sch ran 661 ἀνεμιμνῃσκόμην] αἰτιατικῇ κατὰ Ἀττικούς. σπόδει] κάθαιρε· ἢ σποδιὰν ποίει.

sch ran 664a Πόσειδον , ὃς Αἰγαίου μέδεις πρῶνας : ἐκ Λαοκόωντος τοῦτο Σοφοκλέους· Πόσειδον, ὃς Αἰγαίου μέδεις πρῶνας, ἢ γλαυκᾶς μεδέεις εὐανέμου λίμνας. καὶ Διόνυσος ὀδυνηθεὶς καὶ βοήσας “ Πόσειδο ν” , οὕτω προσθεὶς καὶ τὰ λοιπὰ τοῦ “Πόσειδον” ἐκ Σοφοκλέους, ἐκφεύγειν δοκεῖ τὸ δι’ ἄλγος ἀναβοῆσαι τὸ “Πόσειδον”. πᾶς ὁ γέλως τοῦ παρόντος δράματος πῇ μὲν ἀσέμνοις ἀνδράσι, τὸ δὲ πλεῖον ἀγοραίοις καὶ φλυάροις ἀνεῖται. Πόσειδον] ὦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ran 666a γλαυκᾶς] γλαυκῆς. γλαυκᾶς] μελανιζούσης.

sch ran 669 εἴω, ἴον, ἴες, ἴε. τὸ δυϊκὸν τὸ πρῶτον οὐ ποιεῖ· τὸ δεύτερον “ἴτον” καὶ “εἴσιτον”. Μοῦσα , χορῶν ἱερῶν ἐπίβηθι : ᾠδὴν χοροῦ τοῦτό φασιν οἱ παλαιοί, ὥστε καὶ μέρος παραβάσεως· ἐγὼ δὲ τῇ καταρχῇ τῆς ἐμῆς ἐξηγήσεως ἐν τῷ προοιμίῳ περὶ παραβάσεως καὶ λοιπῶν ἔγραφον καὶ ἐξήλεγξα εἰκαίως πολλὰ γεγραμμένα.

sch ran 674a ᾧ γοῦν ὑμῖν αἱρετόν, πείθεσθε. παρακελευόμενοι νῦν ἕκαστος ἑκάστῳ τῶν τοῦ χοροῦ ᾆσαί τι μέλος ἀλληγορικωτέρως φασίν· ὦ Μοῦσα, τὴν μουσικὴν συμφώνων μελῶν καὶ ᾀσμάτων ἐπίβηθι, πορεύθητι, καὶ ἐλθὲ εἰς τέρψιν τῆς ἐμῆς ἀοιδῆς ὀψομένη τὸν πολὺν ὄχλον τῶν λαῶν, ἤτοι τὸ σύστημα καὶ πλῆθος τοῦ λαοῦ, ἢ τὴν ὀχλώδη, ἑορταῖον δὲ βοὴν τοῦ λαοῦ, σχήματι παραφράσεως ἀντὶ τοῦ “λαόν”, ἢ σχήματι μεταλήψεως ὀψομένη τὴν βοήν· οὐκ ὀπτάνεται γὰρ ἡ βοή, ἀλλ’ ἀκούεται, ὡς καὶ Αἰσχύλος φησὶ μεταληπτικῶς κτύπον δέδορκα· πάταγος οὐχ ἑνὸς δορός. δακτυλικὰ καὶ καθαρὰ καὶ λογαοιδικά, καὶ ἀναπαιστικά.

sch ran 676a οὗ σοφίαι : ὅπου, ἐν Ἀθήναις καὶ Ἐλευσῖνι, ἢ δῆθεν ἐν τῷ Ἅιδῃ, μυρίαι κάθηνται φιλοτιμότερα ι , φιλοδοξότεραι, ἐπιδεικτικώτεραι Κλεοφῶντος. οὗτος ὁ Κλεοφῶν στρατηγὸς ἦν ἀθηναῖος καὶ ἀντεποιεῖτο τῶν πρωτείων τῆς πόλεως· ἐκαλεῖτο δὲ τυροποιός. κωμῳδεῖ οὖν τοῦτον οὗτός τε καὶ Πλάτων ὁ κωμικὸς ὡς ὄντα Θρῄσσης μητρός, ξένον, δυσγενῆ, ἀμαθῆ καὶ φλύαρον. σοφίαι] τινές.

sch ran 678a φιλοτιμότεραι] φιλοδοξότεραι. Κλεοφῶντος] Θρῄσσης μητρὸς ἦν.

sch ran 679a (679/680) ἀμφιλάλοις : μακρολόγοις, μακρηγόροις, πολυλόγοις. ἐπιβρέμεται : (681/82) ἠχεῖ, λαλεῖ. θρηϊκία χελιδὼν : βάρβαρος, πολυλόγος. ἐπὶ βάρβαρον ἑζομένη πέταλον : βαρβάρου γάρ ἐστι, φησί, γενεᾶς. ἀμφιλάλοις] πολυλόγοις, μακρολόγοις.

sch ran 680 ἐπιβρέμεται] ἠχεῖ. σκώπτει δὲ αὐτὸν ὡς Θρᾷκα καὶ βάρβαρον· ἡ γὰρ χελιδὼν θρᾳκικὴ ἤτοι βάρβαρος.

sch ran 681b θρηϊκία χελιδὼν] ἀπαιδευσία. βάρβαρος, πολυλόγος. βαρβάρου γάρ ἐστι γενεᾶς.

sch ran 683a κελαδεῖ δ ’ ἐπίκλαυτον ἀηδόνιον νόμον : ὡς ἡ ἀηδὼν δέ, κἂν ᾄδῃ, δοκεῖ ὅμως θρηνώδη πέμπειν βοήν, ὡς ὀδυρομένη τὸν Ἴτυν, οὕτω καὶ αὐτὸς ὅσον οὔπω κἂν πολλὰ καὶ φλύαρα φθέγγηται, ὅμως πεσεῖται τῆς ἀρχῆς καὶ θρηνήσει. κελαδεῖ δ’ ἐπίκλαυτον] θρηνώδη πέμπει φωνήν.

sch ran 684 νόμον] κατά. κἂν ἶσαι γένωνται : αἱ γνῶμαι δηλονότι, ἤτοι κἂν οὐ κατάδικος γένηται.

sch ran 685a νόμος γὰρ ἦν Ἀθήναζε ἴσων τῶν ψήφων γεγονυιῶν ἀπολύεσθαι τὸν κατηγορούμενον, ἐφ’ ᾗ ἂν αἰτίᾳ καὶ κρίνοιτο. οὗτος δέ, φησίν, ἀπολεῖται, κἂν καὶ αἱ ψῆφοι γένωνται γένοιντο ἶσαι. λείπει αἱ ψῆφοι, αἱ γνῶμαι.

sch ran 686a τὸν ἱερὸν χορὸν : αὐτὸς μὲν ἐν τῷ προοιμίῳ περὶ παραβάσεως καὶ λοιπῶν ἐδίδαξα καὶ ἤλεγξα· νῦν δὲ οἱ παλαιοί φασι· “τὸ τοιοῦτον τοιοῦτο παράβασις καλεῖται, ἅπερ ἔλεγον ἐπιστρέφοντες πρὸς τοὺς θεωμένους· ἔστι δὲ ὁ τρόπος, ὅταν καταλιπὼν τὰ ἑξῆς τοῦ δράματος ὁ ποιητὴς συμβουλεύῃ τοῖς θεωμένοις ἢ ἄλλο τι ἐκτὸς λέγῃ τῆς ὑποθέσεως”. τροχαϊκὰ τετράμετρα καταληκτικά.

sch ran 688a ἐξισῶσαι τοὺς πολίτας : ὁ νοῦς καὶ ἡ συνέπεια τούτου τοῦ λόγου ἀρίστου καὶ σώφρονος ποιητοῦ συμβουλὴν ἔχει. συμβουλεύει γὰρ τοὺς δύο τοὺς ἐκ τῶν δέκα στρατηγῶν τῶν διὰ τὰ ἐν Ἀργιννούσαις ἀνῃρημένων φυγῇ τὴν σωτηρίαν πορισαμένους συγγνώμης τε ἀξιῶσαι καὶ κατενεγκεῖν εἰς τὴν πόλιν καὶ ἰσοτίμους ποιῆσαι τοῖς λοιποῖς. ὁ νοῦς μὲν οὗτος· λεκτέον δέ μοι καὶ τὴν συνέπειαν. πρῶτα μὲν οὖν ἡμῖν δοκεῖ ἐξισῶσαι τοὺς πολίτας καὶ ἀφελεῖν καὶ ἐκβαλεῖν τὰ δείματα καὶ τοὺς φόβους· καὶ ἐάν τις ἥμαρτε σφαλεὶς ἐν παλαίσμασι Φρυνίχου, ἤτοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιπετείαις τύχης τροπικῶς, τροπικώτερον, φημὶ χρῆναι καὶ ἁρμόδιον εἶναι λῦσαι τὰς προτέρας πρότερον ἁμαρτίας τοῖς ὀλισθοῦσι καὶ πεσοῦσι καὶ πταίσασι τότε, ἐκθεῖσιν αἰτίαν ἤτοι δοῦσιν ἀπόκρισιν καὶ ἀπολογίαν, ποίῳ τρόπῳ ἐκ τῆς θαλάττης οὐκ ἀνείλαντο ἀνείλοντο τῶν τότε πεπτωκότων τὰ σώματα. τὰς τῶν πραγμάτων δὲ περιπετεῖς δυσχερείας παλαίσματα Φρυνίχου ἐκάλεσεν, ὅτι ὁ τραγικὸς Φρύνιχος Ἀνταίῳ τῷ αὐτοῦ δράματι γράφει τούτου τε Ἀνταίου τοῦ Λίβυος καὶ Ἡρακλέος παλαίσματα. ἐξισῶσαι] ἀξιῶσαι συγγνώμης.

sch ran 688c κἀφελεῖν] καὶ ἐκβαλεῖν. δείματα] φόβους.

sch ran 689a Φρυνίχου παλαίσμασιν] ἤτοι περιπετείαις τύχης. Φρυνίχου] τοῦ.

sch ran 689c παλαίσμασιν] ἐν ταῖς κατηγορίαις. συγγενὴς γενέσθαι.

sch ran 690b ἐκγενέσθαι] φιλιωθῆναι. χρῆναι] ἁρμόδιον εἶναι, πρέπον.

sch ran 690d ὀλισθοῦσιν] πέσουσιν, πταίσασιν. αἰτίαν] ἀπολογίαν, ἀπόκρισιν.

sch ran 691b ἐκθεῖσι] δοῦσι. εἶ τ ’ ἄτιμόν φημι : εἶτα, τουτέστι δευτέρῳ λόγῳ, φημί, φησὶν ὁ χορός, ἄτιμον μηδένα εἶναι ἐν τῇ πόλει· αἰσχρὸν γάρ ἐστι τοῦτο, εἰ τοὺς δούλους ἡμῶν τοὺς μίαν καὶ ἅπαξ ἐν Πλαταιαῖς κατὰ Περσῶν ναυμαχήσαντας καὶ Πλαταιᾶς εὐθὺς εὐθὺ κληθῆναι καὶ ἀντὶ δούλων δεσπότας ἤτοι ἐλευθέρους· οὐ γὰρ τῶν σφῶν ἐδέσποσαν δεσποτῶν· ἢ δεσπότας εἶπεν, ὡς μετὰ τὴν ἐλευθερίαν ἐπικτησαμένους καὶ δούλους.

sch ran 692a αἰσχρὸν μὲν οὖν, φησίν, ἐστίν, εἰ τοὺς δούλους ἡμῶν μίαν ναυμαχήσαντας ἠλευθερώσαμεν καὶ συμπολίτας, Ἀθηναίους καὶ Πλαταιᾶς, ἐκαλέσαμεν· καὶ οὐδὲ τοῦτο ἔχοιμι ἂν εἰπεῖν, ὡς οὐ καλῶς ἐγένετο, ἀλλ’ ἐπαινῶ. εἶτ’] κατὰ δεύτερον λόγον.

sch ran 693a ναυμαχήσαντας] κατὰ Περσῶν. μίαν] ἅπαξ.

sch ran 694a αὐτοὺς κληθῆναι Πλαταιέας ἤγουν ἐλευθέρους. Πλαταιέας] εἰς.

sch ran 694c δεσπότας] γενέσθαι. μόνα γὰρ αὐτὰ : μόνον γὰρ τοῦτο ἐχεφρονέστατον πεποιήκατε· δεῖ δὲ ὑμᾶς καὶ τοῖς συμπολίταις καὶ στρατηγοῖς, ὧν πολλὰ πολλάκις οἱ πατέρες μεθ’ ὑμῶν ἐναυμάχησαν καὶ ὑμῖν εἰσι συγγενεῖς, ἑπταικόσι δὲ ἅπαξ αἰτουμένοις συγγνῶναι τὴν συμφοράν.

sch ran 699a τὴν μίαν] ἤτοι ἅπαξ ἑπταικόσι. παρεῖναι] ἀφεῖναι, συγχωρῆσαι, συγγνῶναι.

sch ran 700a ἀλλὰ τῆς ὀργῆς : ὁ “ἀλλά” περισσός· τῆς ὀργῆς παυθέντες, ὦ σοφώτατοι, ἔχοιμεν πάντας καὶ συγγενεῖς καὶ πολίτας. εἰ δ’ ὑπερηφανευσόμεθα (704) τούτοις, καὶ ταῦτα τῆς πόλεως ἐν κλύδωνι συμφορῶν οὔσης, ὑστέρῳ χρόνῳ κακόβουλοι δόξαιμεν, ἤτοι προσεκτέον, μὴ ἐντεῦθεν ἡμῖν κακόν τι συμβαίη. τῆς ὀργῆς] ἀπό.

sch ran 700c ἀνέντες] ἐνδόντες. φύσει] κατὰ ἀλήθειαν.

sch ran 702 κἀπιτίμους] ἐντίμους. ὀγκωσόμεσθα] ἐπαρθῶμεν, ὑπερηφανευσόμεθα.

sch ran 703b κἀποσεμνυνούμεθα] ἀλαζονευθῶμεν. τὴν πόλιν] ἡμῶν.

sch ran 704b κυμάτων ἐν ἀγκάλαις] ἐν κλύδωνι συμφορῶν. εὖ φρονεῖν οὐ] κακόβουλοι.

sch ran 706a εἰ δ ’ ἐγὼ ὀρθὸς ἰδεῖν : εἰ δ’ ἐγώ, φησὶν ὁ χορὸς ἤτοι ὁ ποιητής— ὃ γὰρ ὁ ποιητὴς ἤθελε γίνεσθαι, τὸν χορὸν παρεῖχε παρῆγε λέγοντα τοῦτο—φησὶν οὖν ὁ χορὸς ὡς ἀπὸ τοῦ ποιητοῦ πάλιν χωροῦντος εἰς κωμῳδίαν δημαγωγοῦ, Κλειγένους τινὸς βραχυήλικος· εἰ δὲ ἐγὼ ὀρθός εἰμι ἰδεῖν καὶ νοῆσαι καὶ κρῖναι βίον καὶ τρόπον καὶ γνώμην ἀνέρος καὶ ἀνθρώπου, ὅστις οἰμώξεται ἤτοι ὃς μέλλει περιπεσεῖν συμφοραῖς, οὐ πολὺν χρόνον οὐδ’ ὁ Κλειγένης ὁ τοῖος καὶ τοῖος ἐνδιατρίψει, τῇ δημαγωγίᾳ δηλονότι καὶ τῇ ἀρχῇ, ἀλλὰ βραχέος χρόνου καιροῦ ἐκπεσεῖται. τὴν δὲ περὶ τῶν ἐν Σαλαμῖνι ναυμαχησάντων καὶ τὴν τῶν δέκα στρατηγῶν τῶν ἐν Ἀργιννούσαις τῆς Λέσβου ναυμαχίαν καὶ νίκην αὐτῶν κατὰ τῶν Λακώνων, βαρυσυμφορωτέραν ἥττης τῆς οἱασδήποτε γεγονυῖαν αὐτοῖς τοῖς νικήσασιν, οἱ πρὸ ἡμῶν

σχολιογράφοι, ὥς τινες ἐξ ἀγορᾶς βαναυσότατοι ἄνθρωποι, μυριαχῶς καὶ φύρουσι καὶ συγχέουσιν, ὡς μήτε ἱστορίαν συνόλως εἰδότες μήτε μετασχόντες γραμμάτων τῶν στοιχειωδῶν κἂν καὶ πρώτων. ἀσυνάρτητοι ἐξ ἰαμβικῶν καὶ δακτυλικῶν καὶ ἀναπαιστικῶν καὶ τροχαϊκῶν.

sch ran 706c εἰ] ἀντῳδή. ὀρθὸς ἰδεῖν] δυνατός εἰμι νοῆσαι, κρῖναι.

sch ran 706e βίον] γνώμην. τρόπον] γνώμην.

sch ran 707 οἰμώξεται] ὃς μέλλει περιπεσεῖν συμφοραῖς. πολὺν] χρόνον.

sch ran 709 Κλειγενὴς ὁ μικρὸς] ἐνδιατρίψει τῇ δημαγωγίᾳ δηλονότι καὶ τῇ ἀρχῇ. βαλανεὺς : ὡς βαλανέα τὸν Κλειγένην κωμῳδεῖ, καί φησιν· ὁ πονηρότατος οὗτος βαλανεὺς τῶν βαλανέων πάντων, ὁπόσοι κρατοῦσι κονίας καὶ γῆς κυκησιτέφρου καὶ ψευδονίτρου καὶ κιμωλίας γῆς ἤτοι λευκῆς καὶ νιτρώδους.

sch ran 710a οἱ βαλανεῖς γὰρ κυκῶσιν ἤτοι ταράσσουσι καὶ μιγνύουσι τὴν τέφραν ἐλαίῳ καὶ λοιποῖς εἴδεσι γῆς καὶ ποιοῦσι τὸ μίγμα τῶν λουομένων. καὶ τὰ ψευδόνιτρα δὲ καὶ νίτρα ῥυπτικὰ καὶ καθαρτικά εἰσι· Κίμωλος δὲ νῆσός ἐστι μία τῶν Κυκλάδων νιτροποιός. βαλανεὺς ὁπόσοι] ἀπὸ τῶν βαλανέων πάντων.

sch ran 711 κυκησιτέφρου] νίτρου. κιμωλίας γῆς] λευκῆς· ἢ πηλοῦ.

sch ran 713 ἐνδιατρίψει] δημαγωγίᾳ. εἰδὼς δὲ τάδε : ἀντὶ τοῦ τόδε.

sch ran 714a ποῖον τόδε; ὅτι οὐ πολὺν χρόνον ἐνδιατρίψει, οὐκ εἰρηνικός ἐστι βαδίζων ἄνευ ξύλου, ἵνα μή ποτε ἀποδυθῇ μεθύων. γνώρισμα τηρῶν Κλειγένης στρατηγίας ἀνὴρ κατεῖχεν ἀρχικὴν βακτηρίαν.

sch ran 714b οὗτος δ’ ὁ μῖμος κωμικὸς σιλλογράφος καὶ τοῦτο σύρει πρὸς τὸ τούτῳ συμφέρον. οὐκ εἰρηνικὸς : οὐχ ἥσυχος, ἀλλ’ οἷον ἔνοπλος.

sch ran 714c εἰδὼς δὲ ταῦτα προσεποιεῖτο πρόφασιν ἢ μανίαν, εἰδώς, ὅτι μισεῖται παρὰ τῶν πολιτῶν· διὸ καὶ βακτηρίαν ἔχων περιῄει, δι’ ἧς ἠμύνετο τοὺς ἐπερχομένους αὐτῷ. εἰδὼς δὲ τάδ’] γινώσκων, ὅτι μισεῖται παρὰ τῆς πόλεως.

sch ran 714e οὐκ εἰρηνικὸς] οὐχ ἥσυχος, ἀλλ’ ἔνοπλος. πολλάκις ἡμῖν : πολλάκις, φησίν, ἡ πόλις ἡμῶν ἤτοι αἱ Ἀθῆναι ἔδοξε καὶ ἐνομίσθη ταὐτὰ πάσχειν εἰς τοὺς ἀγαθοὺς πολίτας καὶ τὰ παλαιὰ (721) καὶ κάλλιστα χρύσινα νομίσματα· οὔτε γὰρ τοῖς ἐκ καλλίστου χρυσοῦ κεχαραγμένοις παλαιοῖς νομίσμασι χρώμεθα, ἀλλὰ τοῖς νέοις καὶ ὑποχάλκοις, (730) οὔτε τοῖς εὐγενέσι καὶ ἀγαθοῖς καὶ σώφροσι πολίταις, ἀλλὰ τοῖς δυσγενέσι καὶ πονηροῖς καὶ οἷς πρότερον ἡ πόλις οὐδ’ ἂν εἰς καθαρμὸν ἐχρήσατο, οὖσι καὶ γένει καὶ τρόπῳ καὶ τῇ μορφῇ ὑπὲρ πᾶν αὐτοκάθαρμα.

sch ran 718b ἀντεπίρρημα. ἔδοξεν] ἐνομίσθη.

sch ran 718d ἡ πόλις] αἱ Ἀθῆναι. πεπονθέναι] παθεῖν.

sch ran 719 ταὐτὸν] ὅμοιον. κεκιβδηλευμένοις : ἀχρήστοις, ἀποβλήτοις· ἡ μεταφορὰ ἀπὸ τῶν Χίων, οἵτινες ἐξ ἀνυπερβλήτου στοργῆς ἐς τοσοῦτον ἔχθος Ἀθηναίοις μετέπεσον, ὡς Ἀθηναίους χίβδηλον πᾶν μὴ μόνον τὸ βδελυκτὸν καλεῖν, ἀλλὰ καὶ πάντας ἀνθρώπους ἀπὸ τοῦ βδελύσσεσθαι τοῖς Ἀθηναίοις τοὺς Χίους καὶ τὸ χιῶσαι καὶ ἀπαλεῖψαι καὶ συγκρύψαι ὁμοίως καλεῖν· οὕτω χίβδηλον καὶ κίβδηλον.

sch ran 721 ἢ κίβδηλον τὸ σεσηπὸς καὶ ἄχρηστον· ἡ μεταφορὰ ἀπὸ τῶν σεσηπότων ξύλων ἐστὶ καὶ ὑπὸ κιὸς καὶ σκώληκος δεδηλημένων καὶ βεβλαμμένων. ὀρθῶς κοπεῖσι καὶ κεκωδωνισμένοις : ὀρθῶς χαραχθεῖσι καὶ εὐήχοις νομίσμασιν.

sch ran 723b κοπεῖσι] χαραχθεῖσι. κεκωδωνισμένοις] δεδοκιμασμένοις.

sch ran 725 χαλκίαι λέγονται κυρίως οἱ χάλκεοι ἀνδριάντες· νῦν δὲ χαλκία καλεῖ τὰ χάλκεα ἢ χαλκεπίχρυσα νομίσματα. χθές τε καὶ πρώην : χθὲς καὶ πρὸ βραχέος τινὸς τὸ χάραγμα καὶ τὸν τύπον τοῦ σφραγιστῆρος λαβοῦσι κακίστῳ χαράγματι καὶ τυπώματι.

sch ran 726b χθές τε] πρὸ βραχέος. κόμματι] χαράγματι.

sch ran 727 τοὺς πολίτας τε ὁμοίως τοὺς εὐγενεῖς καὶ μετόχους παντοίων καλῶν προσελοῦμεν καὶ ὑβρίζομεν, ἤτοι ἀτιμοῦμεν καὶ παρορῶμεν καὶ καταφρονηταὶ τούτων γινόμεθα. προσελοῦμεν : ὑβρίζομεν.

sch ran 730a χαλκοῖς : ἀδοκίμοις, βδελυροῖς τὸν τρόπον· “χαλκοῖς” δὲ εἶπεν ὡς ἐπὶ φαύλων νομισμάτων. προσελοῦμεν] ὑβρίζομεν.

sch ran 730c χαλκοῖς] βδελυροῖς, ἀδοκίμοις. Πυρρίαις : δούλοις· ὀνόματα γὰρ τότε τοῖς δούλοις ἐτίθεντο Πυρρίαι, Τίβιοι, Καρίωνες, Μαναῖ, Σκεβλύαι, Διτύλαι, Παρδόκαι καὶ ἕτερα.

sch ran 730e Πυρρίαις] δούλοις. φαρμακοῖσι : τοῖς καλουμένοις καθάρμασι.

sch ran 733a τὰ καθάρματα δὲ τοιαδί· συμφορᾶς οἱασδήτινος κατασχούσης πόλιν τινὰ δυσμορφότερον πάντων καὶ ἀηδέστερον ξύλοις ἀκάρποις ὑπὲρ τῆς πόλεως τῆς θεηλατουμένης ἐκείνης κατέφλεγον καὶ τὴν τέφραν ἁπανταχοῦ ὡς καθάρσιον ἐξελίκμων καὶ ἀπερράντιζον. φαρμακοῖσιν] καθάρμασιν.

sch ran 734 ὦνόητοι : καὶ νῦν, ὦ ἀνόητοι, μεταμείψαντες τοὺς ὑμῶν τρόπους πάλιν χρῆσθε δημαγωγοῖς καὶ ἄρχουσι τοῖς χρηστοῖς, καὶ κατορθώσασιν ὑμῖν εὔλογον καὶ εὐάφορμον καὶ τὸ πρᾶγμα καλὴν ἔχον τὴν ἀπολογίαν φανεῖται, (736) καὶ σφαλεῖσι δὲ καὶ ἀποτυχοῦσι τοῦ σκοποῦ ἐν τῷ χειροτονήσασθαι καὶ προστήσασθαι ἡμῶν εὐγενεῖς δημαγωγούς, ἐάν τι πάσχητε βλαβερὸν τοῖς τοιούτοις, ἐξ ἀξίου δοκήσετε πάσχειν, ἀλλ’ οὐκ ἀναξίου τοῦ ξύλου. τοῦτο δὲ παροιμία ἐστὶ προσφυὴς λέγεσθαι τοῖς ἀπάγχειν ἑαυτοὺς βουλομένοις· “ἀπὸ ξύλου καλλίστου κἂν ἀπαγξαίμην”. πῶς δὲ τοὺς βουλευτὰς ὁ κωμικὸς οὕτω τραχείαις ταῖς ὕβρεσι βάλλων καὶ πῇ μέν, ὡς νῦν, ἀνοήτους καλῶν, πῇ δὲ βαρύτερα ἕτερα, οὐ τὴν προσήκουσαν δέδωκεν; παροιμία· “ἀπὸ ξύλου καλλίστου κἂν ἀπαγξαίμην”.

sch ran 736b εὔλογον] καὶ καλὴν ἀφορμὴν ἔχον φανεῖται. σφαλῆτ’] ἀποτυχῆτε τοῦ σκοποῦ.

sch ran 740a βινεῖν : συνουσιάζειν. βινεῖν δὲ εἴρηται ἀπὸ τοῦ ἐν τῷ βίῳ νεῖν καὶ νήχεσθαι· ἄνετον γὰρ βίον πρὸ τοῦ γάμου ζῶντες οἱ ἄνθρωποι, ἀφ’ οὗ συνδεθῶσι τοῖς γάμοις, ταῖς συμφοραῖς νήχονται καὶ βίου τοῖς κύμασιν. βινεῖν ἀπὸ τοῦ ἐν τῷ βίῳ νεῖν καὶ νήχεσθαι.

sch ran 741 τὸ δὲ μὴ πατάξαι σε : ἐλλείψεως τὸ σχῆμα, οἷον· τὸ δὲ μὴ πατάξαι σε ἐκεῖνον ἐλέγξαντά σε ἄντικρυς δοῦλον οὐ χρηστοῦ δεσπότου ἐστί; καὶ ὁ Ξανθίας (743) τὸν δουλικὸν τρόπον μιμούμενος φάσκει· εἰ ἐπάταξέ με, οἴμωζεν ἂν οἴμωξεν ἄν ἀντὶ τοῦ “ᾤμωξεν”—ἰωνικὸν δὲ τοῦτο, οὐκ ἀττικόν—. —οὐκ ἀττικὸν τὸ “οἴμωζεν”, ἰωνικὸν δέ—. πῶς δὲ ἂν οἴμωξε οἴμωζε καὶ ᾤμωξε ᾤμωζε καὶ ἐδυσφόρει; πεφευγότος ἐμοῦ. θαυμάζω, ὅτι οὐ χρηστοῦ δεσπότου ἐστίν.

sch ran 742b ὢν] δοῦλος. εἶναι δεσπότης] θαυμάζω.

sch ran 743 οἴμωζε μέντἄν] εἰ ἐπάταξε πεφευγότος ἐμοῦ. πεποίηκας] ὅτι δοῦλος.

sch ran 745a ἱκετεύω καὶ ἀποδέχομαί σε, ἐπείπερ καὶ σὺ τοῦτο ποιεῖς. χαίρει ς , ἱκετεύ ω , φησὶν ὁ Ξανθίας τῷ Αἰακοῦ δούλῳ.

sch ran 745b κἀκεῖνος· μὴ χαίρειν ἁπλῶς με νόμιζε τότε, ἀλλ’ ἐποπτεύειν δοκῶ, ἤτοι ὑπερχαίρειν, ὡς οἱ γεγονότες ἐπόπται τῶν μυστηρίων. Σύμμαχος δὲ περὶ μυστῶν καὶ ἐποπτευόντων φησίν, ὅτι πρῶτον οἱ μεμυημένοι ἐδιδάσκοντο τὰ μυστήρια καὶ ἔπειτα ἐγένοντο ἐπόπται. ἐποπτεύειν δοκῶ] θεωρίας βλέπειν. τί δὲ] χαίρεις.

sch ran 747b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τονθορύζων] ψιθυρίζων. ἀπῄς θύραζε] καὶ ἀπέρχεσαι ἔξω τῆς θύρας.

sch ran 749a τί δὲ] χαίρεις. πράττων] πταίων.

sch ran 749c οἶδ’ ἐγώ] ὁπόσα εὐφραίνομαι. ὁμόγνιε Ζεῦ : πολλαὶ κλήσεις τῷ Διὶ προσαρμόττουσι· καλεῖται γὰρ φίλιος, ξένιος, ἑταιρεῖος, ὁμόγνιος, καὶ ἑτέρας κλήσεις μυρίας προσφυεῖς τοῖς χρωμένοις.

sch ran 750a ἐπεὶ δὲ καὶ ὁ Ξανθίας καὶ ὁ δοῦλος τοῦ Πλούτωνος ὡς δοῦλοι συγγενεῖς λέγονται, Δία ὁμόγνιον καὶ συγγενικὸν ἀνακαλεῖται χαίρων καί φησιν· ὦ Ζεῦ, συναγαγὼν νῦν ἡμᾶς, τοὺς ὁμογενεῖς λέγω καὶ ὁμοδούλους. εἶτα πάλιν ἐρωτᾷ τὸν Πλούτωνος δοῦλον· καὶ παρακούων καὶ κρυφῇ ἀκροώμενός σου τῶν δεσποτῶν· ἀπὸ κοινοῦ τὸ “χαίρεις;” κἀκεῖνος· καὶ μάλα πλεῖν καὶ πλέον χαίρω· εἰ δὲ μὴ χαίρω τοῦτο ποιῶν, μαίνομαι καὶ ἐξεστηκώς εἰμι φρενῶν. ὁμόγνιε] συγγενικέ. [5]

sch ran 750c καὶ ... δεσποτῶν] καὶ κρυφῇ ἀκροώμενος τῶν δεσποτῶν. ἅττ’ ἂν] εὖτ’ ἄν.

sch ran 751b λαλῶσι] χαίρεις. μάλα .

sch ran 751c .. μαίνομαι p.i.m.] πλέον χαίρω· εἰ δὲ μὴ χαίρω, μαίνομαι καὶ ἐξεστηκώς εἰμι φρενός. τί δὲ τοῖς θύρασι καὶ τοῖς ἐκτὸς καὶ ξένοις ταῦτα καταλαλῶν; ἢ ἀντὶ τοῦ “λαλῶν” ἁπλῶς ἢ κατὰ τῶν δεσποτῶν ταῦτα λαλῶν.

sch ran 752a κἀκεῖνος· ἔγωγε, φησί, ὅταν δρῶ τοῦτο—ὁ “ἀλλά” περισσός—καὶ ἐκμιαίνομαι ἤτοι ἡδύνομαι, ὥσπερ οἱ ἐν συνουσίαις ἀποκρίνοντες τὸν θορόν. ἀλλά σοι μηδὲ τὸ “θύρασιν” εἰπεῖν παραδράμωμεν. θύρασιν εἴπομεν, ὅτι ἡ λέξις τοῖς ἐκτὸς καὶ ξένοις φησίν. ἰστέον δέ, ὅτι ἀπὸ εὐθείας τῆς “ὁ θύρας” ἔκλινεν, ὡς Αἴας, Αἴαντος, Αἴασιν. θύραζε] θύρασι. [5]

sch ran 752c καταλαλῶν] λέγων. κἀκμιαίνομαι] ἤτοι ἡδύνομαι.

sch ran 754 ὦ Φοῖ β ’ Ἄπολλον : ὁ Ξανθίας τοῦτό φησι θαυμάσας, ὅτι τοῦ αὐτοῦ τούτῳ τρόπου καὶ ὁ τοῦ Πλούτωνος δοῦλός ἐστι· καὶ περιβάλλουσιν ἀλλήλους καὶ κατασπάζονται. εἶτα ἀπὸ τῶν ἔνδοθεν ἔνδοθεν ἐκτὸς ἐξερχομένου θορύβου (756) τε καὶ βοῆς αἰσθόμενος ὁ Ξανθίας τὸν Πλούτωνος δοῦλον τὸν δοῦλον τὸν Πλούτωνος ἐρωτᾷ· πρὸς τοῦ Διός, ὃς ἡμῖν ἐστιν ἡμᾶς τοὺς ὁμομαστιγίας καὶ ἤτοι ὁμοδούλους ἡμᾶς ὄντας εἰς ταὐτὸ (758) συνήγαγε τήμερον, σήμερον, τίς ἐστιν ὁ θόρυβος καὶ ἡ παροῦσα βοή; καὶ ὅς· Αἰσχύλου (761) καὶ Εὐριπίδου, φησί· νόμος γάρ τίς ἐστιν ἐν τῷ Ἅιδῃ τὸν ἄριστον τῶν ὁμοτέχνων τῶν καλλίστων τεχνῶν προεδρίαν ἔχειν τῶν ἄλλων, ἔγγιστα τοῦ Πλούτωνος καθεζόμενον. κύσαι] φιλῆσαι. [5]

sch ran 761 ἐκ τοῦ;] πράγματος. σίτησιν αὐτὸν ἐν πρυτανείῳ λαμβάνειν : οἱ ἄριστοι τῶν δημαγωγῶν καὶ τῶν στρατηγῶν, ὡς καὶ σοφοί τινες, ὡς οἱ λυρικοί, Ἀθήναζε σίτησιν εἶχον ἐν τῷ πρυτανείῳ· ἀπὸ γοῦν τῶν ἐν Ἀθήναις ἐθίμων μεταφέρει ταῦτα εἰς τὰ ἐν Ἅιδου.

sch ran 764b πρυτανείῳ] δημοσίῳ. θρόνον τε τοῦ Πλούτωνος ἑξῆς : ἤτοι μετὰ τὸν Πλούτωνα δευτερευούσῃ τάξει.

sch ran 765a μανθάν ω , φησὶν ὁ Ξανθίας, ἤτοι νοῶ. ἑξῆς] ἐγγύς.

sch ran 765c μανθάνω] νοῶ. τότε δὲ παραχωρεῖν ἔδει : τότε δέ, ὅταν σοφώτερος ἔλθοι, παραχωρεῖν ἔδει, ἀντὶ τοῦ “δεῖ παραχωρεῖν”, ἐκείνῳ τοῦ θρόνου καὶ ὑπείκειν.

sch ran 767b ἔδει] δεῖ. ἐπεδείκνυτο : ἐκόμπαζεν, ὕψου ἑαυτὸν καὶ ἐθεάτριζε τοῖς λωποδύταις, τοῖς ἀποδύουσι τὰ ἱμάτια ἔκ τε ζώντων καὶ ἐκ νεκρῶν.

sch ran 771b ἐπεδείκνυτο] ἐπιδεικτικῶς ἔλεγε. βαλαντιοτόμοι εἰσὶν οἱ λάθρᾳ τε καὶ κρυφίως τέμνοντές τε καὶ ἀφαιρούμενοι ἔκ τινων τὰ νομισματοδόχα φασκώλια.

sch ran 772b τοῖς βαλ λ αντιοτόμοις] τοῖς κλέπτουσι τὰ βαλάντια. τῶν ἀντιλογιῶν : τῶν σοφιστικῶν ἀντιθέσεων· μᾶλλον δὲ τῶν ἐπιφερομένων αὐτῷ ἀτέχνων καὶ ἀσκόπων καὶ ἀνηθικεύτων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντιλογιῶν, ἐν αἷς ἀντιλέγοντας δείκνυσι δούλους δεσπόταις, ἄρχουσιν ἀρχομένους, στρατευομένους τοῖς στρατηγοῖς, τοῖς τριηραρχοῦσι τοὺς ἐπιβάτας, καὶ ἁπλῶς οὗ ποιεῖ μιξανάρρουν πραγμάτων καὶ σύγχυσιν.

sch ran 775b ἀντιλογιῶν] ἀντιρρήσεων. λυγισμῶν καὶ στροφῶν : καμπῶν καὶ εὐστρόφων εὑρεσιλογιῶν.

sch ran 776a ὑπερεμάνησαν : πόθον ἐμμανῆ καὶ ἐρωτικὸν ἔσχον αὐτοῦ καὶ τῆς στοργῆς τῆς τούτου ἐξαρτώμενοι ἐφαίνοντο. ὑπερεμάνησαν] ὑπερεχάρησαν.

sch ran 777 σημαίνει δύο, τὸ "περιποιοῦμαι" καὶ "βοηθῶ." κοὐκ ἐβάλλετ ο; : ἐν λίθοις δηλονότι ὁ Εὐριπίδης.

sch ran 778b κοὐκ ἐβάλλετο;] ἐν λίθοις ὁ Εὐριπίδης. ὁπότερος] ὁποῖος.

sch ran 781a νὴ Δ ί ' οὐράνιόν γ ' ὅσον : ἐρωτήσαντος Ξανθίου ὁ τῶν πανούργων δῆμος ἐβόα, φησὶν ὁ τοῦ Πλούτωνος οἰκέτης, " οὐράνιόν γ ' ὅσο ν" , ἤτοι· ναί, ὁ τῶν πανούργων δῆμος ἐβόα ἢ "οὐράνιον" ἤτοι μέγα, ἢ "ὅσον"· ὁ δὲ τοῦ γελοίου ἕνεκα τὰ δύο μίξας εἰρήκει. ἡμάρτηται δὲ τῷ κωμικῷ ἀπροσεκτήσαντι ἀνωτέρω μικρὸν οὗ εἶπεν· " ὅπερ ἔσ τ ' ἐν Ἅιδου πλῆθο ς" · καὶ μετὰ τὸ " νὴ Δ ί ' οὐράνιόν γ ' ὅσο ν " μετὰ στίχον ἕνα τὸ αὐτὸ ἁμάρτημα πάλιν ἁμαρτάνει λέγων " ὀλίγον ἐστὶ τὸ χρηστό ν , ὥσπερ ἐνθάδ ε" , ἀπροσεκτήσας, ὅτι δῆθεν ὁ χορὸς ἐν τῷ Ἅιδῃ ὢν ταῦτα λέγει. ὤφειλεν οὖν εἰπεῖν ἐκεῖ μὲν "ὅπερ ἐστὶν ἐνθάδε πλῆθος", οὐ μὴν "ἐν Ἅιδου"· οἷς δὲ μέλλει εἰπεῖν "ὥσπερ ἐνθάδε", ὤφειλεν εἰπεῖν "ὥσπερ ἐν τῷ βίῳ" ἢ "ὥσπερ ἐν Ἀθήναις". νὴ] ναί.

sch ran 783 ἐνθάδε] ἐκεῖ. ὅμοιον.

sch ran 788 μὰ Δ ί ' οὐκ ἐκεῖνος : οὔ μὰ Δία, φησίν, οὐ Σοφοκλῆς ἀντελάβετο καὶ ἤρισε καὶ ἀντέτεινε περὶ τοῦ θρόνου, ἀλλ' ἔκυσε μὲν τὸν Αἰσχύλον, ἠσπάσατο χείλεσιν, ἢ καὶ προσεκύνησεν, ὅτε κατῆλθεν ὁ Σοφοκλῆς δηλονότι τεθνηκώς. κἀνέβαλε τὴν δεξιὰν : ἤτοι καὶ αὐτὸς ὁ Σοφοκλῆς ἀνέτεινεν εἰς ὕψος τὴν δεξιὰν καὶ ἐχειροτόνησε καὶ ὥσπερ ἐπεψηφίσατο καὶ ἐπεκύρωσεν ἄξιον εἶναι τῆς προεδρίας Αἰσχύλον.

sch ran 789 τοῦτο γὰρ ἦν ἡ παλαιὰ χειροτονία, τὸ ἐπὶ τοῖς προβεβλημένοις εἰς ἀρχὴν οἱανδήτινα ἀρεσκόμενον τὸν δῆμον εἰς ὕψος ἀνατείνειν τὰς δεξιάς, μὴ ἀρεσκόμενον δὲ τῷ κατεστῶτι σχήματι καὶ κατὰ χώραν ἔχειν τὰς χεῖρας. κἀκεῖνος μὲν ὑπεχώρησεν : καὶ ὁ Σοφοκλῆς μὲν ὑπεχώρησε καὶ μακρὰν ἀπέδραμε τοῦ ἐρίζειν Αἰσχύλῳ περὶ τοῦ θρόνου αἰδεσθεὶς τὸ ἀξιογέραστον τοῦ ἀνδρός.

sch ran 790b ὑπεχώρησεν] παρεχώρησεν. νυνὶ δέ , ὡς ἔφη Κλειδημίδης : υἱὸς ἢ κατά τινας ὑποκριτὴς Σοφοκλέους ὁ Κλειδημίδης.

sch ran 793a ἐάσειν οὕτως, ὡς εὗρεν, Αἰσχύλον καθέζεσθαι. ἔφεδρος] συγκάθεδρος.

sch ran 793b ἕξειν κατὰ χώραν] ἡσυχάσειν. τί χρῆ μ ' ἄ ρ ' ἔστα ι; : τί χρῆμα καὶ πρᾶγμα μέλλει γενέσθαι, διερωτᾷ ὁ Ξανθίας· ὁ δὲ τοῦ Πλούτωνος οἰκέτης φησί· νὴ τὸν Δία, μετὰ βραχεῖαν πάνυ χρόνου ῥοπὴν κἀνταῦθα ἤτοι καὶ ἐν τῷ Ἅιδῃ τὰ δεινὰ κινηθήσεται ἤτοι δεινὰ (797) καὶ χαλεπὰ πράγματα γενήσεται.

sch ran 795a καὶ γὰρ ἡ μουσικὴ καὶ λογικὴ καὶ ποιητικὴ τέχνη ταλάντῳ καὶ ζυγῷ σταθμήσεται ἤτοι ζυγοσταθμήσεται ζυγοσταθμηθήσεται τὰ ἔπη τῶν ποιητῶν, ὡς ἐν τῷ βίῳ ταῖς ἀγοραῖς τὰ κρέα σταθμᾶται καὶ ὁ τυρός. νὴ .

sch ran 795b .. ὕστερον] μετὰ βραχεῖαν χρόνου παραδρομήν. κἀνταῦθα] ἐν τῷ Ἅιδῃ.

sch ran 797 ταλάντῳ] ζυγῷ, καμπανῷ. τί δ έ ; μειαγωγήσουσι : τῶν παλαιῶν· "εἰώθασιν οἱ Ἀθηναῖοι προσφέρειν εἰς τοὺς φράτορας γραφόμενοι πρόβατον· καὶ οἱ ἱστάμενοι ἔλεγον "μεῖον μεῖον"· καὶ τὸν εἰσάγοντα μειαγωγὸν ἐκάλουν".

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ran 798a ἅπερ γράφουσιν οἱ πάλαι μακρηγόροι, ἐκεῖθεν αὐτὸς ἐξερευνῶν μοι μάθε· εἰ δ’ αὖ ἀκόμψως καὶ σαφῶς καὶ συντόμως καὶ πρὸς φύσιν μαθεῖν δὲ πραγμάτων θέλεις, ἄκουσον ἡμῶν καὶ φρενῶν δέλτοις τύπου. τὸ μειαγωγεῖν τὸ ζυγῷ σταθμᾶν νόει, ὡς τὰ κρέα τυρούς τε τοῖς πρατηρίοις, συχνῶς ἐν οἷς βοῶσιν ἐξωνηκότες· “μεῖον πρὸς ὁλκὴν καὶ ῥοπὴν ζυγουλκίας, ὅ μοι πιπράσκεις, καὶ βραχὺ πρόσθες μέρος”. λέγει. Τζέτζης μὲν οὕτω τουτοΐ σοι νῦν γράφει. ἄκουσον δέ, εἴπερ ἐθέλεις μαθεῖν καὶ τὰ τῶν παλαιῶν, ὄντως ἀπατούρια, πλὴν οὐ κατ’ αὐτοὺς πεφυρμένα, τὰ Τζέτζη δὲ κοσμήματα, ὃς Ἀπατούριά φησιν ἑορτὴν Ἀθήναζε εἶναι ἐκ τοῦ Μέλανθον τὸν ἐκ Κόδρου Ἀθηνῶν τὴν βασιλείαν λαβόντα ἐπὶ τῷ μονομαχῆσαι Ξανθίᾳ τῷ Βοιωτῷ ἀπατῇ αὐτὸν ἀνελεῖν εἰπόντα· “ἑνὶ μόνῳ συνεθέμην μονομαχῆσαι· τίς δ’ οὗτος ὁ σὺν σοὶ ἐμοὶ βουλόμενος μάχεσθαι;” πρὸς γὰρ τὸν λόγον στραφέντα τὸν ἄνθρωπον οὗτος ἀπέκτεινεν. ἔγνως, πῶς πρὸς τὸ “μεῖον μεῖον” τὰ Ἀπατούριά εἰσιν ἀπατούρια; τὸ πλῆθος δὲ τούτων τὸ πεφυρμένον βραχυλογήματι περισχεῖν οὐκ ἐξόν, ἄλλην ἐπ’ ἄλλῃ συμφορὰν δεδεγμένον, τέως, ὃ τάχα λέγειν δοκοῦσι, τοιοῦτόν ἐστιν. οἱ Ἀθηναῖοι τοὺς παῖδας αὐτῶν πολιτογραφοῦντες εἰς τοὺς φράτορας ἦγον μετά τινα χρόνον τῆς τῶν παίδων γεννήσεως· καὶ καθ’ ἡμᾶς λαμπρὰν καὶ γαμικὴν ἐποίουν δοχήν, κατὰ δὲ τούτους ἱερεῖον πρὸς σταθμὸν ἐδίδουν τοῖς φράτορσιν· ἐκεῖνοι δὲ “μεῖον μεῖον” ἔλεγον θέλοντες μείζους μερίδας λαμβάνειν. καὶ τὰ τούτων τζετζικωτέρως εἶπον ὑμῖν ἐάσας ἀβυδηνά τινα μυρία ἐπιφορήματα. μειαγωγήσουσι] ζυγοστατήσουσι, σταθμήσουσι.

sch ran 799a κανόνας : τεκτονικὰ ἐργαλεῖα καὶ πήχεις μετρικῶν λόγων. ἐξοίσουσι] κομίσουσι.

sch ran 800a καὶ πλαίσια σύμπτυκτα : πλινθουργικὰ ἐργαλεῖα ἐκ σανίδων συνεπτυγμένα καὶ συνεσφιγμένα καὶ συντεθέντα εἰς ἐπίμηκες σχῆμα τετράγωνον, ὃ καὶ πλινθίον καλεῖται. πλαίσια] τυπάρια πλίνθων.

sch ran 801a καὶ διαμέτρους καὶ σφῆνας : ἐξορκίζω ὑμᾶς πρὸς τῆς ἀληθείας αὐτῆς· τοὺς τὰς (τοὺς) διαμέτρους μηδεὶς διαβήτας νοήσειεν, ἀλλὰ σπαρτία δῆθεν γεωμετρικά, οἷς μετροῦμεν καὶ τὰ διάμετρα, εἰ καὶ τὸ σκέλος ποτέ φαμεν τοῦ διαβήτου ἀνεῳγὸς εἰς διάμετρον. νῦν δὲ διαμέτρους λέγει γεωμετρικῇ τῇ τροπῇ τὴν πᾶσαν τῶν δραμάτων διάνοιαν, σφῆνας δὲ τὰ τῶν συλλαβῶν καὶ τὰ τῶν μετρικῶν ποδῶν ὑπερείσματα καὶ πᾶσαν λόγου τὴν κατάλεπτον ἁρμογήν. διαμέτρους] σπαρτία γεωμετρικά.

sch ran 802 κα τ ’ ἔπος βασανιεῖν : κατὰ λεπτὸν ἐξετάσαι, πολυπραγμονῆσαι. ἦ που] ὄντως.

sch ran 804a ἔβλεψε γοῦν ταυρηδὸν : χαρακτηρίζει τὸ στρυφνὸν καὶ αὐστηρὸν τοῦ Αἰσχύλου, καὶ ζωγραφεῖ δὲ τοῦτον, οἷος ἦν ὀργιζόμενος. τοῦ τ ’ ἦν δύσκολον : ἀντὶ τοῦ “τοῦτο ἔστι δύσκολον”.

sch ran 807a οὔτε γὰρ Ἀθηναίοις συνέβαι ν ’ Αἰσχύλος : ἤτοι οὐχ ὑπέπιπτε καὶ φίλως εἶχε τοῖς Ἀθηναίοις. εἰ δὲ σοφόν τι μαθεῖν ἐθέλεις, πρόσ(σ)χες τοῖς παλαιοῖς. συνέβαιν’] καὶ ἐφιλιοῦτο.

sch ran 808a πολλοὺς ἴσως ἐνόμιζε τοὺς τοιχωρύχους : ὁ Αἰσχύλος, φησὶν ὁ Ξανθίας· καὶ διὰ τοῦτο δηλονότι οὐ συνέβαινε καὶ ἐφιλιοῦτο αὐτοῖς. καὶ πρὸς αὐτὸν ὁ οἰκέτης τοῦ Πλούτωνος λέγει· ναί, πολλοὺς ἐνόμιζε τοιχωρύχους. τοὺς τοιούτους ἐνόμιζεν. πολλούς] ναί.

sch ran 809a λῆρόν τε τἄλ λ ’ ἡγεῖτο : πάντα δὲ τὰ ἄλλα φλυαρίαν ἐνόμιζε καὶ ἐν παρέργῳ καὶ δεύτερα ἐνόμιζε καὶ ἐτίθετο τοῦ γινώσκειν φύσεις ποιητῶν, ἤτοι τοῦ γράφειν ὀρθῶς καὶ συντιθέναι τὰ δράματα ὡς οἱ γενναῖοι καὶ ἄριστοι ποιηταί. εἰ δὲ μαθεῖν ἐθέλεις κομψοπρεπές τι καὶ ἥδυσμα λόγου, Τζέτζην παρεικὼς μὴ γράφοντα προσφόρως ἀρχῆς ἀπ’ ἄκρης μέχρι τέρματος βίβλου τὰ τῶν παλαιῶν ἠκριβωμένως σκόπει. λῆρον] φλυαρίαν.

sch ran 809c τἄλλ’] πάντα τὰ ἄλλα. ἡγεῖτο] ἐν παρέργῳ ἐτίθετο.

sch ran 809e

πέρι] περι. εἶτα τῷ σῷ δεσπότῃ : ἤτοι τῷ Διονύσῳ ἐπέτρεψαν καὶ ἀνέθεντο δηλονότι τὴν κρίσιν Εὐριπίδου τε καὶ Αἰσχύλου, ὅτι τῆς τέχνης ἔμπειρος ἦν καὶ ἔστιν.

sch ran 810 ἔμπειρον δὲ τὸν Διόνυσον τῆς ποιητικῆς εἶναί φησιν, ὅτι καθ’ ἕκαστον ἔτος ἐν τοῖς Διονυσίοις, ἃ ἐτελεῖτο ἔαρος ἀρχομένου, παυομένου δὲ τοῦ χειμῶνος, οἱ τραγικοί τε καὶ κωμικοὶ ποιηταὶ ἠγωνίζοντο. ἐπέτρεψαν] ἀνέθεντο τὴν κρίσιν.

sch ran 812 ἄλ λ ’ εἰσίωμεν : ὅτι, ὅταν οἱ δεσπόται ἐσπουδάκωσιν ἤτοι φροντίδα σπουδαίων καὶ ἀναγκαίων ἔχωσιν ἔργων, κλαύματα ἡμῖν γίνεται, ἤτοι μαστιζόμενοι οἱ οἰκέται δακρύομεν. ἐσπουδάκωσι] φροντίδα σπουδαίων ἔχωσι.

sch ran 813b κλαύμαθ’ ἡμῖν] ἤτοι δακρύομεν. ἦ που] ὄντως.

sch ran 814b ἐριβρεμέτας] ὁ Αἰσχύλος, διὰ τὸ βροντῶδες τῶν ῥημάτων. ὀξύλαλόν] τό.

sch ran 816 ἀντιτέχνου] τοῦ Εὐριπίδου. ὑψιλόφων τε λόγων] μεγάλων τῶν τοῦ Αἰσχύλου.

sch ran 818b κορυθαίολα] ποικίλα. σκινδαλμὸς κυρίως τὸ περὶ τὸν φλοιὸν τοῦ καλάμου ξέσμα· παραξόνια δέ, οἷον κινδυνώδη καὶ παράβουλα, περὶ τὸν τροχὸν ἑλκόμενα.

sch ran 819b παραξόνια] παραξέσματα. σμιλεύματά] ἀποτρίμματα ξύλων.

sch ran 820 φρενοτέκτονος] τοῦ Αἰσχύλου. ἱπποβάμονα] κενόδοξα.

sch ran 822a φρίξας : ὁ Αἰσχύλος ὀργισθείς, ὥσπερ σῦς. φρίξας] συνάξας.

sch ran 824a γομφοπαγῆ] ἰσχυρά. ἀποσπῶν τὰ ῥήματα, ὥσπερ πίνακας ἀπὸ πλοίων· πινακίδες δὲ αἱ μεγάλαι σανίδες τῶν πλοίων.

sch ran 826a λίσπη : λίαν ἐκτετριμμένη καὶ ὀλισθηρὰ γλῶσσα, διὰ τὸ ἐν τοῖς λόγοις εὐαπόφυγον. ἄλλω ς . λίσπους καλοῦσι τοὺς ὑφ’ ἡμῶν καλουμένους στρυφνοὺς ἀστραγάλους· οἱ τοιοῦτοι δὲ δυστροπικοί εἰσιν ἐν τῷ παίζειν. στοματουργός] γλῶσσα.

sch ran 826c λίσπη] εὔστροφος, λεπτή. δαιομένη] μερίζουσα.

sch ran 828b τὴν τοῦ Αἰσχύλου λεπτολογίαν καταλεπτολογήσει ὁ Εὐριπίδης. οὐκ ἂν μεθείμην] παρεπιγραφή.

sch ran 832 αἰσθάνει] ἀκούεις. ἀποσεμνυνεῖται : ὅπερ ἐποίει σιωπῶν· σεμνότητος γὰρ ἕνεκα ἐπὶ πολὺ ἐσιώπα Αἰσχύλος ἐν τοῖς θεάτροις εἰσιών.

sch ran 833b ἀποσεμνυνεῖται] ἐπαίρεται. ἐτερατεύετο] ἠλαζονεύετο.

sch ran 835 λίαν λέγε] κατὰ τοῦ Αἰσχύλου. διέσκεμμαι] διανενόηκα.

sch ran 837 διασύρει τὸν Αἰσχύλον, διότι ἄγρια πρόσωπα εἰσῆγεν ἐν τοῖς δράμασιν. ἀπύλωτον : ἀθύρωτον· ἢ ἠνεῳγμένον καὶ πύλην μὴ ἔχον.

sch ran 838 μὴ χαλιναγωγούμενον, μὴ κρατούμενον. ἀπεριλάλητον : οὐκ εἰδότα λαλεῖν.

sch ran 839a κομποφακελορρήμονα δέ, βαρυρρήμονα· φάκελοι γὰρ τὰ βαρέα φορτία τῶν ξύλων. ἀπεριλάλητον] μὴ δυνάμενον λαλῆσαι.

sch ran 839c κομποφακελορρήμονα] βαρυρρήμονα. αἱ τέσσαρες λέξεις, τὸ “αὐθαδόστομον”, τὸ “ἀχάλινον, ἀκρατές, ἀπύλωτον στόμα” τὸ “ξενοτέρας λέξεις φθεγγόμενον” δηλοῖ, ὡς καὶ τὸ “κομποφακελορρήμονα” τοῦτο δείκνυσι.

sch ran 840a ἄληθες] κατ’ εἰρωνείαν. παῖ .

sch ran 840b .. θεοῦ] τῆς Δήμητρος, ἤτοι τῆς λαχανοπώλιδος. σὺ δὴ] λέγεις.

sch ran 842a διὰ τὴν Ἑκάβην, διότι ἐποίησεν αὐτὴν βασίλισσαν οὖσαν πένησσαν. ἔθος τοῖς ῥήτορσι πλάττειν ὀνόματα, ὡς καὶ ὁ θεολόγος· “Εἰδωλιανέ, καυσίταυρε”, καὶ ὁ Δημοσθένης· “γραμματοκύφων”.

sch ran 844

θερμήνῃς] ἀνάψῃς. ἄρνα μέλανα : ὡς τοιαύτης γινομένης θυσίας τῷ Τυφῶνι ἐν τῷ λῆξαι τὰς καταιγίδας.

sch ran 847 ἢ ὅτι τοῖς ἀνέμοις τοῖς σκότος ποιοῦσιν ἔθυον ἄρνα μέλαιναν, τοῖς δὲ μὴ τοιούτοις λευκήν. τυφὼς : διὰ τὰ ἐν τῷ τοῦ Προμηθέως δράματι γραφέντα περὶ τὸν Τυφῶνα· τυφὼς δὲ καλοῦσι τὰς καταιγίδας τῶν ἀνέμων. [5]

sch ran 849 ὁ Αἰόλος ἦν ἀπὸ τῆς Κρήτης, ὃς εἶχε παῖδας δύο, τὴν Δανάην καὶ τὸν Μεγαρέα, οἵτινες ἐποίησαν παῖδας καὶ συνέζευξαν αὐτοὺς ἀλλήλοις. Δανάης καὶ Μεγαρέως τῶν ἀδελφῶν· ἐδοκεῖ γὰρ τοῖς παλαιοῖς πάνυ ἐναγὲς τὸ ἀδελφοῖς μίγνυσθαι.

sch ran 850b γάμους δ’ ἀνοσίους] Δανάης καὶ Μεγαρέως τῶν ἀδελφῶν. πόνηρ’] πολύπονε.

sch ran 854 κεφαλαίῳ] μεγάλῳ, ἁδρῷ. τὸν Τήλεφον] ἐγκέφαλον παρ’ ὑπόνοιαν.

sch ran 855b ἰδιαίτατα δὲ τὸν Τήλεφον κωμῳδεῖ. ἀρτοπώλιδας] γυναῖκας.

sch ran 859a ὡς κάθυγρος ὢν τὰ πολλὰ ἡ δάφνη καὶ ὁ πρῖνος φωνοῦσι τῶν ἄλλων δένδρων τῷ καίεσθαι. σὺ δ’] ὦ Αἰσχύλε.

sch ran 859c ὥσπερ ... βοᾷς] ὅτι ὁ πρῖνος καιόμενος ψόφον ποιεῖ. τὰ νεῦρα] τοὺς εἱρμούς.

sch ran 863 δράματά εἰσι ταῦτα. κἄτι μάλα τὸν Τήλεφον : ὡς εἰ ἔλεγε· καὶ ὃν κωμῳδεῖς Τήλεφον, εἰς μέσον φέρε.

sch ran 864 φέρω vel φέρων. τί] διὰ τί.

sch ran 869 ἕξει] δύναται. μουσικώτατα] ἐντέχνως.

sch ran 874 ὑμεῖς δὲ] πρὸς τὸν χορόν. λεπτολόγους] ⌉ } περὶ Αἰσχύλου.

sch ran 876 καθορᾶτε] ⌋ τῶν διὰ τῶν γνωμῶν τυπτομένων.

sch ran 877b τοῖς μετὰ σκέψεως εὑρισκομένοις. στρεβλοῖσι] ἀσαφέσι.

sch ran 879(b) ἐποψόμεναι] περὶ Εὐριπίδου. τὰ μὲν ῥήματα πρὸς τὸν Αἰσχύλον, τὰ δὲ παραπρίσματα πρὸς τὸν Εὐριπίδην λεπτολογοῦντα.

sch ran 886 ὁ Αἰσχύλος Ἐλευσίνιος· ἐτιμᾶτο δὲ ἐκεῖ ἡ Δήμητρα. σχῆμα γοργότητος.

sch ran 887b εἶναί με] ποίησον. λιβανωτὸν] θῦσον.

sch ran 888b καλῶς] εἰρωνικῶς. ἰδιώταις] ἰδίοις.

sch ran 892a καὶ Σωκράτης ἐν Νεφέλαις· μὰ τὴν Ἀναπνοήν, μὰ τὸ Χάος, μὰ τὸν Ἀέρα. χαρακτηρίζει δὲ Εὐριπίδην εὐεπίφορον ὄντα ἐπὶ τὸ αἰθέρα ὀνομάζειν. στρόφιγξ δὲ ἀπὸ τοῦ στρέφειν αὐτὸν καὶ πανουργεύεσθαι. βόσκημα] πλὴν ἰχθύων· οἱ γὰρ ἰχθύες οὐ χρῄζουσι τοῦ ἀέρος. [5]

sch ran 893 σκόπει τὸν Εὐριπίδην ὡς θεοποιοῦντα τὴν σύνεσιν. ὀρθῶς μ’ ἐλέγχειν] δότε, ποιήσατε.

sch ran 896 σοφοῖν ἀνδροῖν] τὰ δυϊκὰ καλλύνουσι τὴν γραφήν. ἐμμέλειαν] ἁρμονίαν.

sch ran 897b ἐπί τε] ἐλθεῖν. δαΐαν : ἀγωνιστικήν, πολεμικήν· ἢ ἔμπειρον, ἀπὸ τοῦ “δαῆναι”.

sch ran 897d δαΐαν] ἀγωνιστικήν, ὁρμητικήν. ἄτολμον] ἀσθενές, ἀδύνατον.

sch ran 901a ἐξεσμένον· ῥίνη γὰρ ἐργαλεῖον τεκτονικόν. κατερρινημένον] ἐξεσμένον.

sch ran 902a τὸν δ’] τὸν Αἰσχύλον. αὐτοπρέμνοις] δυσκόλοις, προρρίζοις, μεγάλοις.

sch ran 904a συσκεδᾶν] κινεῖν. ἁλινδήθρας ἐπῶν] συστροφάς, τύπους, χαρακτῆρας ἄλλων ποιητῶν.

sch ran 905a ἰαμβικὰ τετράμετρα καταληκτικά. ὅπως] ὁρᾶτε.

sch ran 905c ἐρεῖτον] εἴπητε. εἰκόνας] αἰνίγματα.

sch ran 910(a)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

“ παρὰ Φρυνίχῳ : ἀπατεὼν γάρ, ὡς ἀφελέστερος ὁ Φρύνιχος. νῦν δὲ Φρύνιχον λέγει λέγουσι τὸν τραγῳδίας ποιητήν· τοῦτον δὲ ἐπαινοῦσιν εἰς τὴν μελοποιίαν. νῦν νυνὶ δὲ ὡς ἀφελοῦς αὐτοῦ μνημονεύει ὁ Ἀριστοφάνης· Ἀριστοφάνης · ἦν δὲ πρὸ Αἰσχύλου”. Φρυνίχῳ] ἀφελεῖ.

sch ran 914a οὐ δῆθ’] ἔλεγον. ἤρειδεν] ἐφ’ ἑτέρῳ ἕτερον προσετίθει.

sch ran 915a μελῶν] τραγῳδιῶν. οἱ δ’] οἱ ἄλλοι.

sch ran 917a διασύρει τοὺς ἀθηναίους ῥήτορας. ἠλίθιος .

sch ran 917b .. ἧσθα] ὅτι ἔχαιρες ἐν τῇ σιωπῇ. τὸ “ὁδεῖνα” ἐλάμβανον ἐπὶ τῶν παρόντων οἱ παλαιοὶ ἀντὶ τοῦ 〈“ὅδε”〉 ἐπιδεικτικῶς, οἱ δὲ νεώτεροι ἐπὶ τῶν ἀπόντων ἀντὶ ἀντωνυμίας.

sch ran 918b κἀμαυτῷ] ὅτι μωρὸς ἤμην. ὁ δεῖνα] Αἰσχύλος.

sch ran 919a προσδοκῶν] περιμένων. καθῆτο] καθίσῃ.

sch ran 922a οὕτως ἔλεγον τὸ παρὰ φύσιν τὰ μέλη ἐκτείνειν· “σκορδινᾶσθαι”. τινὲς 〈δὲ〉 περὶ τοὺς ἐγειρομένους ἐξ ὕπνου, ὅταν χασμώδεις ὄντες ἐκτείνοιεν τὰ μέλη, ὅπερ συμβαίνει καὶ περὶ τοὺς ἄλλως πως βασανιζομένους καὶ διαστρεφομένους τὰ μέλη. σκορδινᾷ] ἀποταυρίζῃ.

sch ran 924a μεσοίη] μεσάζοι. βόεια] μεγάλα.

sch ran 925 μουρμουρωπά] ὑψηλά, ὑπερήφανα. ἀγνῶτα] μὴ καθαρά.

sch ran 927 πρῖε] ἀκόνει. χαρακτηριστικῶς καὶ τοῦτο, ὅτι πολὺς Αἰσχύλος ἐν τῷ ποταμοὺς καὶ ὄρη λέγειν.

sch ran 928b Σκαμάνδρους] ποταμούς. ἐπόντας] ἱστορημένους.

sch ran 929 γρυπαιέτους : ἐπίσημον ἀσπίδος ἀλλόκοτον. εἰώθασι γὰρ ζωγραφεῖν εἰς τὰς ἀσπίδας αἰετοὺς καὶ ἄλλα τινά. ξυμβαλεῖν] νοηθῆναι.

sch ran 931a τὸ “ἤδη” λαμβάνεται ἐπὶ τῶν τριῶν χρόνων· παρεληλυθότος, ἐνεστῶτος καὶ ἐπὶ μέλλοντος. ἤδη ποτ’] παράλληλον.

sch ran 932a τὸν ... ἱππαλεκτρυόνα] διασύρει τινὰ ξανθόν. ὄρνις] πετεινόν.

sch ran 932c τίς] ποῖος. ὦμαθέστατ’] ἤγουν κέπφος.

sch ran 934a τὸν Φιλοξένου] τὸν υἱὸν τοῦ. τὸν Φιλοξένου] διασύρει τοῦτον.

sch ran 935 γρ. κολεκτρυόνα. παραπετάσμασι] ἐν τοῖς περσικοῖς βήλοις.

sch ran 940a οἰδοῦσαν] καὶ ἐξωγκωμένην. ἐπαχθῶν] ὀγκηρῶν.

sch ran 941 πρώτιστον] εὐθύς. ἐπυλλίοισι] μικροῖς λόγοις διυλίζων.

sch ran 942b περιπάτοις] ὁδοῖς. Κηφισοφῶν : ὅτι ἐδόκει δοῦλος ὢν συμπονεῖν αὐτῷ ὁ Κηφισοφῶν, καὶ μάλιστα τὰ μέλη· ὃν καὶ συνεῖναι τῇ γυναικὶ αὐτοῦ κωμῳδοῦσιν.

sch ran 944 ἕτερος δέ ἐστι Κηφισοφῶν, ὁ καὶ τὸ ψήφισμα εἰσενεγκὼν ὑπὲρ τοῦ εἰρχθῆναι τῆς ἐν πρυτανείῳ σιτήσεως. λέγειν ἄλλο ἢ τὸ σόν.

sch ran 947 δυσγενὴς γὰρ ἦν. παρῆκ’] κατέλειψα.

sch ran 951 τολμῶντα] λέγειν. τὰ περὶ δημοκρατίας καὶ ἰσότητος· εἰς τὴν τοῦ δήμου ὠφέλειαν.

sch ran 952b δημοκρατικὸν γὰρ αὖ τ ’ ἔδρων : τὰ περὶ δημοκρατίας καὶ ἰσότητος. φησὶν οὖν πρὸς ταῦτα ὁ Διόνυσος· ἔασον· ἐμὸν γάρ ἐστιν ἐμπεριπατῆσαι περὶ τούτου, οὐ σόν, παρόσον ἡσυχίας καὶ εἰρήνης ὁ θεὸς αἴτιος. ἀποκρίνεται ὁ Διόνυσος πρὸς τὸ “δημοκρατικόν”, καί φησιν· οὐκ ἔστι σοι ἄδεια τοῦ λέγειν περὶ τούτου· ἐμὸν γάρ ἐστι τὸ κρατεῖν τοῦ δήμου.

sch ran 952d ἔασον οὖν, ὦ τᾶν· ὀρθῶς γάρ σου κατηγορεῖ ἐπὶ τῇ πάντων ἀδολεσχίᾳ ὁ Αἰσχύλος· οὐκ ἂν ἔχοις ἐμπεριπατῆσαι οὐδὲ ἐπαινέσαι σεαυτὸν ἐπὶ τούτῳ. ὁδὸς εἰς τοὔμπροσθεν τοῦ φροντίζειν τῆς ὠφελείας τοῦ δήμου.

sch ran 953b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐ ... κάλλιστα] ἐμὸν γάρ ἐστιν ἐμπεριπατῆσαι περὶ τούτου, οὐ σόν. τουτουσὶ] τούτους· τοὺς Ἀθηναίους.

sch ran 954b φημὶ κἀγώ] κατ’ εἰρωνείαν. εἰσβολὰς] μαθήσεις.

sch ran 956b γωνιασμούς] σχηματισμούς. ἐρᾶν] ἐρωτᾶν.

sch ran 958a κάχ’] τὰ κακά. ὑποτοπεῖσθαι] ὑπονοεῖν.

sch ran 958c περινοεῖν] περιεργάζεσθαι. οἰκεῖα] λεπτά.

sch ran 960a ἆν] γρ. ἄρ’ ἐξηλεγχόμην] κατὰ τὴν τέχνην.

sch ran 961a τὴν τέχνην] κατά. ἐκομπολάκουν] κενοὺς οὐκ ἐποίουν 〈ψόφουσ〉.

sch ran 962a ἀποσπάσας] τοὺς Ἀθηναίους. ἐξέπληττον] ἐξεδειμάτουν.

sch ran 964a γνώσει] πρὸς τὸν Διόνυσον. ἑατέρ ου ους ] ἑκατέρους.

sch ran 965a Μεγαίνετος ὁ Μανῆς : ὅτι οὐ πάντως βάρβαρος, ἀλλ’ ἀναίσθητος καὶ οὐκ ἀστεῖος. αὐθάδης δὲ οὗτος καὶ τῶν στρατηγιώντων· ὑπῆρχε δὲ καὶ θρασύς. τούτου μὲν οὖν] τοῦ Αἰσχύλου.

sch ran 965c Μεγαίνετός θ’ ὁ Μάνης] ὁ βάρβαρος, τουτέστιν ὁ Σθλάβος. σάλπιγγας καὶ λόγχας καὶ ὑπήνας ἔχοντες· τοῦτο δὲ εἰς τὸν Φορμίσιον ἀποτείνει, ὡς μέγαν πώγωνα ἔχοντα.

sch ran 966b σαλπιγγολογχυπηνάδαι] ἤτοι ἔχοντες γένεια εἰς ὀξὺ λήγοντα, ὥσπερ ἡ σάλπιγξ. σαρκασμοπιτυοκάμπται] ὡς σαρκάζοντας καὶ προσποιουμένους τὰ πολεμικά.

sch ran 967a Θηραμένης : ἀστεῖος καὶ πιθανός· Κλειτοφῶν δὲ ὡς ἀργὸς ἐκωμῳδεῖτο· νῦν δὲ ὡς παλίμβολον καὶ πανοῦργον βούλεται τοῦτον ἀποδεικνύναι καὶ παραπλήσιον Θηραμένει. ούμοὶ δὲ] μαθηταί.

sch ran 968 σοφός γ’ ἀνὴρ] κατ’ εἰρωνείαν. ἐκ τῆς παροιμίας “οὐ Χῖος, ἀλλὰ Κεῖος”, παρόσον ποικίλος τις ὢν καὶ ἀγχίστροφος καθωμίλει τοὺς καιρούς, πρὸς τὸ κρεῖττον μέρος διδοὺς ἑαυτόν.

sch ran 970a ἄλλως : οἱ Ἀθηναῖοι ἐχθρωδῶς διακείμενοι πρὸς τοὺς Χίους, εἴ ποτε ἐκρατήθη παρ’ αὐτῶν τις ἀπὸ τῆς Χίου καὶ ἔμελλε τύπτεσθαι, ἀπεβόα· οὐ Χῖος, ἀλλὰ Κεῖος. οὐ Χῖος] παροιμία.

sch ran 970c οὐ Χῖος] τὶ λέγων. ἰαμβικὰ δίμετρα καταληκτικά.

sch ran 972(b) εἰσηγησάμην] ἐδίδαξα. λογισμὸν] γνῶσιν.

sch ran 974a σκέψιν] σύνεσιν. νοεῖν] διαγινώσκειν.

sch ran 975 διειδέναι p.i.m.] ἀκριβῶς ἐπίστασθαι, ἵνα προσέχωσι ταῖς οἰκίαις καὶ μὴ τοῖς πολέμοις. οἰκεῖν] φυλάσσειν.

sch ran 980/81 Ἀθηναίων] ἀπό. ἅπας τις εἰσιὼν] γραμματικῶν καὶ οὐ φιλοσόφων.

sch ran 982 πρὸς τοὺς οἰκέτας] εἰς τὴν οἰκίαν. ἐδῶ, ἐδώσω, ἤδωκα· γρ.

sch ran 984a καὶ ἐδῶ, ἐδέσω, ἐδεστόν. τίς .

sch ran 984b .. ἀπεδήδοκεν;] τίς τὰ λείψανα τῆς τραπέζης ἔφαγεν; τὸ τρυβλίον] τὸ ἀγγεῖον.

sch ran 986a περυσινὸν] περσινόν. τέθνηκέ] ἤγουν κέκλασται.

sch ran 988a περισσεύουσι ταῦτα οἱ Ἀττικοί, ὡς τὸ “ἔπιε τοῦ ποταμοῦ”. παρέτραγε] παρέφαγε.

sch ran 989a βέλτερος ὁ εὔστοχος καὶ εὔσκοπος, ἀπὸ τοῦ “βάλλω”· ἀβέλτερος δὲ ὁ μωρὸς καὶ ἄσκοπος καὶ ἄστοχος. ἀβελτερώτατοι] ἀσυνετώτατοι.

sch ran 990a Μαμμάκουθος καὶ Μελιτίδης ἐπὶ μωρίᾳ διεβάλλοντο, καθάπερ καὶ ὁ Βουταλίων καὶ ὁ Κόροιβος. μελιτίδην δὲ τὸν εὐήθη, παρὰ τὸ μέλι· ἢ καὶ γέγονέ τις οὕτω μωρός. ἢ ὥσπερ οἱ Μαμμάκουθοι καὶ οἱ Μελιτίδαι· ἦσαν γάρ, ὥς φασιν, ἕτεροι ἄνδρες πονηροὶ καὶ τῇ ἀργίᾳ ἐμμένοντες καὶ βλέποντες εἰς τὸ βλάπτειν καὶ διαβάλλειν τινάς. σκώπτει διὰ τούτου τοὺς Ἀθηναίους ὁ ἀλιτήριος. Μαμμά κουθοι : κυθοι πρὸς τὸ “ἀνοίξω τὸ στόμα μου”.

sch ran 990(b) μωρῶν παλαιῶν ἔργα καὶ κλήσεις τάδε. Μακκὼ καὶ Μαργίτης τις. καὶ Μελιτίδης· καὶ Κόροιβος· σὺν οἷς καὶ Μαμμάκουθος. καὶ Βουταλίων, μωροί· ὁ Ὀρέστης τε, ὁ παῖς τοῦ Ἑρμοκράτους· υἱεῖς Ἱπποκράτους τε· ἄλλοι τε πλείονες: — Μακκώ, τῷ κατόπτρῳ μεν. τῷ ἑαυτῆς διελέγετο· Μαργίτης ἠρώτα δε, τίς ὁ γεννήσας ἐμέ· Μελιτίδης δέ, συζύγῳ τῇ οἰκείᾳ, οὐδόλως ἐμίγνυτο. ὡς πενθερόφοβος: — ἐάσθω μοι Κόροιβος. ὅστις ἠρίθμει τὰ κύματα· ἕν, δύο καὶ τρία δε καταριθμῶν δεξιῶς· καὶ συγχέων δε, ἀρχῆθεν ἀπηρίθμει: ἐάσθων καὶ σύμπαντες, οὕσπερ προέφημεν: — κεχηνότες Μαμμάκυθοι] εἰς τὴν κακίαν, ὥσπερ οἱ.

sch ran 991 μελιτίδης· εὐήθης, παρὰ τὸ μέλι. παρ’ ὑπόνοιαν· ἤγουν “ὦ Αἰσχύλε”.

sch ran 992a λοιδορεῖ δὲ τοῦτον· ἐν τῇ ἀρχῇ γὰρ τοῦ δράματος εἶχε τοῦτον τὸν στίχον. λεύσσεις] βλέπεις.

sch ran 992c Ἀχιλλεῦ] παρ’ ὑπόνοιαν. λέξεις] Αἰσχύλε.

sch ran 993b ὅπως] ὅρα. ἀντὶ τοῦ “ἐκτὸς τῶν ὡρισμένων λόγων”· ἐμφαίνει δέ τι ὡρισμένον λέγειν, καὶ μάλιστα ὡς ἐπ’ ἄκρου ἱπποδρόμου ἐλαῖαι ἦσαν, καθ’ ἃς ἐξεφέροντο οἱ ὑποπίπτοντες κατὰ τὸν δρόμον· θέλει δὲ εἰπεῖν “ἐκτὸς τοῦ προκειμένου”.

sch ran 995a ἢ ἐπεὶ εἶπεν ὁ Διόνυσος· τίς τῆς ἐλαίας παρέτραγε; παρὰ τὸ “παρέτραγε” παίζων ὁ χορὸς τοῦτό φησιν· μή ς’ ὁ θυμὸς ἁρπάσας ἐκτὸς οἴσει τῶν ἐλαιῶν. ἐκ μεταφορᾶς.

sch ran 995c τῶν ἐλαιῶν] τῶν ὡρισμένων λόγων. κατηγόρηκεν] ἀναύξητον, ὡς τὸ “ἥβηκεν”.

sch ran 997 ὅπως] ὅρα. πρὸς ὀργὴν] καὶ ὀργίλως, ὡς τὸ “πρὸς χάριν” καὶ “χαριέντως”.

sch ran 999a συστείλας] τὴν ὀργήν. ἄκροισι] ὀλίγοις.

sch ran 1001 ἄξεις] προσάξεις. ] καθεστηκὸς] κατὰ χώραν μένον.

sch ran 1004a ἀναπαιστικὰ τετράμετρα καταληκτικά. πυργώσας] αὐξήσας.

sch ran 1005 ἀφίει] ἄφες. τῇ πρὸς Εὐριπίδην.

sch ran 1006b τῇ ξυντυχίᾳ] τῇ συναντήσει. ἀπόκριναι] ἀπόκρισιν δός.

sch ran 1009 δεξιότητος] ἕνεκα. τεθνάναι] γελοίου χάριν· ἀπέθανε γάρ.

sch ran 1014a ἰσχυρούς· πᾶν γὰρ τὸ τετράγωνον στερεόν. μεγάλους. εἰ] ἐπειδή.

sch ran 1014c τετραπήχεις] τετραγώνους. διαδρασιπολίτας] διαδιδράσκοντας τοὺς πολίτας· δειλούς.

sch ran 1015a ἀγοραίους] χυδαίους. κοβάλους] πανούργους.

sch ran 1015b ἀπὸ τοῦ “βάλλειν τὰ ὦτα.” πνέοντας δόρυ] θυμοῦ.

sch ran 1017 ἑπταβοείους] μεγάλους, ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος τοῦ Αἴαντος. καὶ δὴ .

sch ran 1018a .. κακὸν] ἤτοι ἄρχεται θυμοῦσθαι ὁ Αἰσχύλος. κρανοποιῶν] ἀλγῶν τὴν κεφαλήν.

sch ran 1018c ἐπιτρίψει] ἐπιτρίψεις. τοὺς] τό.

sch ran 1025a ὑμῖν] τοῖς Ἀθηναίοις. ἐπὶ τοῦτ’] ἐπὶ τὸ πολεμεῖν.

sch ran 1026 Πέρσας] τὸ τῶν Περσῶν δρᾶμα. κοσμήσας] μετὰ κόσμου ποιήσας.

sch ran 1030 ἀσκεῖν] ἐπιτηδεύεσθαι. ὡς] πῶς.

sch ran 1033a τὸν Μουσαῖον παῖδα Σελήνης καὶ Εὐμόλπου Φιλόχορός φησιν. οὗτος δὲ παραλύσεις καὶ τελετὰς καὶ καθαρμοὺς συνέθηκεν· ὁ δὲ Σοφοκλῆς χρησμολόγον αὐτόν φησιν. ἐξακέσεις] θεραπείας.

sch ran 1035 τοῦ] τίνος. ΔΙΟ.

sch ran 1036a ] Εὐριπίδης. καὶ μὴν οὐ Παντακλέα : διαβάλλει τὸν Παντακλέα ὡς ἀμαθῆ ἐν τῷ ὁπλίζεσθαι.

sch ran 1037 ἔπεμπεν] ἐπέμφθη. τὸ κράνος πρῶτον : δέον ἐπιδήσαντα τὸν λόφον ἔπειτα περιθέσθαι τὸ κράνος.

sch ran 1039 ἀγαθούς] ἀρίστους ἐποίησεν Ὅμηρος. ἀπομαξαμένη] ἐκμιμη 〈σαμένη〉 · λαβοῦσα.

sch ran 1041 ἐπαίροιμ’] διεγείροιμι. ἀντεκτείνειν] ἰσοποιεῖν.

sch ran 1043 ἀλλ’ ... Φαίδρας] διὰ τὸ τοῦ Ἱππολύτου δρᾶμα. ἐρῶσαν] ἄνδρα.

sch ran 1044b ἐποίησα] ποιητικῶς ἔγραψα. μήδε γ’] εἴθε.

sch ran 1046a τοῖς σοῖς] δράμασιν. πολλοῦ] διὰ χρόνου.

sch ran 1047a κάτ’ οὖν ἔβαλεν] γρ. κάτω ’νέβαλεν. τοῦτο] ἔπαθες.

sch ran 1051a ὅτι πληθυντικῶς εἶπε κώνεια ἕνεκεν τοῦ πολλὰ εἶναι· ἦν δὲ καὶ ἑνικῶς εἰπεῖν. τάχα μέντοι μᾶλλον πρὸς τὸ περὶ γυναικῶν ἱστορούμενον· ἀλλὰ τὴν Σθενέβοιαν μεμισημέναι πιοῦσαι κώνειον ἐτελεύτησαν. Βελλεροφόντας] τοὺς πόρνους.

sch ran 1052 ὄντα] ἀληθῆ. παράγειν] εἰσφέρειν.

sch ran 1055a φράζει] διδάσκει. ἡβῶσι] γέρουσι.

sch ran 1056 Λυκαβῆτας : ὄρος Φωκίδος· οἷον ῥήματα παραπλήσια ὄρεσιν. Παρνασῶν] ὄρος Ἀθηναίων.

sch ran 1058a ἐνθύμημα. ἀνάγκη] τὸν λέγοντα.

sch ran 1060a ἐνθύμημα. κἄλλως] λέγειν.

sch ran 1060c τοὺς ἡμιθέους ... χρῆσθαι] τοῦ Κάστορος καὶ Πολυδεύκους ἐποίησε δρᾶμα. ἀμπίσχων] ἀλλοπαθές· “ἀμπίσχομαι” δὲ ταὐτοπαθές.

sch ran 1067 οὔλων ἐρίων : ὁ Διόνυσός φησιν· ἦν ἐνδεδυμένος ἐρίων χιτῶνα· περιείληπται γὰρ ῥάκη προσποιούμενος εἶναι πένης. οὔλων] συνεστραμμένων.

sch ran 1068a περὶ τοὺς] εἶτα. ἀνέκυψεν] ἤγρευεν.

sch ran 1070 τὰς πυγὰς] τὰς καθέδρας. τῶν μειρακίων : ἄπειροι οὗτοι ἐκκλησίας.

sch ran 1071a φησὶν οὖν ὑπὸ Εὐριπίδου διαστραφέντας ἐπὶ τὸ λέγειν ὁρμῆσαι. παράλους δὲ τοὺς κωπηλάτας. τοὺς παράλους] θαλασσίους· οὐδαμινοὺς ναύτας.

sch ran 1072 ἀνταγορεύειν] ἐναντιοῦσθαι. ῥυππαπαὶ] ἐπίφθεγμα ναυτικόν, παρασκευαστικὸν κωπηλασίας.

sch ran 1074a τῷ θαλάμακι : τῷ κωπηλατοῦντι ἐν τῷ κάτω μέρει τῆς τριήρους. οἱ δὲ θαλάμακες ὀλίγον μισθὸν εἶχον διὰ τὸ κολοβαῖς χρῆσθαι κώπαις. ἦσαν δὲ τρεῖς τάξεις τῶν ἐρετῶν· καὶ οἱ μὲν κάτω ἐλέγοντο θαλαμῖται, οἱ δὲ μέσοι ζυγῖται, οἱ δὲ ἄνω θρανῖται. θρανίτης οὖν ὁ περὶ τὴν πρύμνην, ζυγίτης ὁ μέσος, θαλάμιος ὁ πρὸς τὴν πρῴραν. καὶ θαλαμία ὀπή, δι’ ἧς ἐξέρχεται ἡ κώπη. τῷ θαλάμακι] τῷ κωπηλατοῦντι.

sch ran 1075a μινθῶσαι : διοσφρᾶναι, δυσοσμίας ἀναπλῆσαι, μιᾶναι, ῥυπῶσαι. μίνθον δὲ τὸ παρ’ ἡμῖν ἡδύοσμον· οἱ δὲ τὸν θύμον. μινθῶσαι] διοσφρᾶναι.

sch ran 1075c λωποδυτῆσαι] “κωπηλατῆσαι” ἔδει εἰπεῖν. αἴτιός ἐστιν] οὑτοσί.

sch ran 1079 προαγωγοὺς] μαυλιστάς. τικτούσας] ὡς ἡ Αὔγη.

sch ran 1081 μιγνυμένας τοῖσιν ἀδελφοῖς] ὡς αἱ τοῦ Αἰόλου θυγατέρες. καὶ φασκούσας .

sch ran 1082 .. τὸ ζῆν] πρὶν ἂν ποιήσῃ πορνείαν μετὰ τοῦ ἀδελφοῦ. ὑπογραμματέων : τῶν γραμματεύειν βουλομένων καὶ μὴ στρατεύεσθαι.

sch ran 1084 ἐπὶ κακοπραγμοσύνῃ δὲ διαβάλλει τοὺς γραμματεῖς. βωμολόχων δημοπιθήκων] ἀπατώντων τοὺς δήμους δίκην πιθήκων.

sch ran 1086 ἐξαπατώντων] ἐφερμηνευτικόν. λαμπά δ ’ οὐδεὶς : ἔδει γὰρ λαμπαδουχεῖν ἐν Ἡφαιστίοις καὶ Παναθηναίοις.

sch ran 1087

ἐν Ἀθήναις δέ ἐστι γυμνάσιον, ἐν ᾧ ἐλαμπαδηφόρουν οἱ γυμνάζοντες. ὁ τῆς λαμπάδος δὲ ἀγὼν τρίτον Ἀθήνησιν ἤγετο· Προμήθεια, Ἡφαίστεια, Παναθήναια. ἀγυμνασίας] ἀπειρίας.

sch ran 1089a ὥστ’ ἀπεφανάνθην] γρ. ὥστ’ ἀπαυάνθην. ἀπεφανάνθην] ἐξηράνθην ὑπὸ τοῦ γέλωτος.

sch ran 1091 ἔθει] ἔθεε. ὑπολειπόμενος] τοῦ δρόμου.

sch ran 1093 κᾆ θ ’ οἱ Κεραμεῖς : οἱ τὸ Κεραμεικὸν οἰκοῦντες· δῆμος δὲ Ἀθηναίων. ἐκεῖ γὰρ ὁ ἀγὼν ἤγετο. τοὺς γοῦν ὑστάτους τρέχοντας ἀπὸ τῶν ἀγοραίων τύπτεσθαι πλατείαις ὑπὸ τῶν νεανίσκων χερσί· καὶ λέγονται αἱ τοιαῦται κεραμεικαὶ πληγαί. πύλαις] τοῦ ἀγῶνος.

sch ran 1096 πλατείαις] χερσὶ ἢ μάστιξι. φυσῶν] σβέσας.

sch ran 1100 διαιρεῖν] διακρίνειν. ὁ μὲν] ὁ Αἰσχύλος.

sch ran 1101b τείνῃ βιαίως] φιλονεικήσῃ. τὸν ἑαυτοῦ λόγον. ὁ δ’] ὁ Εὐριπίδης.

sch ran 1102b κἀπερείδεσθαι] τοῖς οἰκείοις λόγοις. τορῶς] σαφῶς, ἀκριβῶς.

sch ran 1103a ἀφ’ οὗ παροιμία. μὴ ἐν ταὐτῷ κάθησθον καὶ ἑνὶ λόγῳ τὰς ἀντιλογίας ποιεῖτε. μὴ .

sch ran 1103b .. κάθηστον] ἀφ’ οὗ παροιμία. ἐσβολαὶ] ἀφορμαί, μάχαι.

sch ran 1106a 〈ἔπιτον]〉 ἐπέρχεσθον. ἀναδέρετον] ἀνακινοῦτε, ἀπογυμνοῦτε.

sch ran 1108 κἀποκινδυνεύετον] τολμῶντες λέγετε. λέγοντες] γρ.

sch ran 1111a λεγόντοιν. λέγοντες] ὑμεῖς.

sch ran 1113a ἐστρατευμένοι γάρ εἰσι : δεξιοὺς νομίζουσι τοὺς ἐστρατευμένους καὶ ἀξίους ἐπαίνου, τοὺς δὲ διαδιδράσκοντας τὰς στρατείας φιλοδίκους εἶναι καὶ συκοφάντας. ἐστρατευμένοι γάρ εἰσι] εἰς τὴν στρατείαν τοῦ Ἑρμοῦ, τοῦ λόγου· ἤγουν λόγιοι.

sch ran 1114a ἔχων] ἁπτόμενος. δεξιά] ἄριστα.

sch ran 1114b εἰρωνικῶς. κράτισται] λαμπραί.

sch ran 1116 παρηκόνηνται] ἠκονημέναι τὸ ἀκούειν. τοὺς προλόγους] εἰς τὰ προοίμια.

sch ran 1120 πρῶτον] ἐν πρώτοις. πρώτιστον] ἐξαίρετον.

sch ran 1121b τοῦ δεξιοῦ] εἰρωνεία. φράσει] ἐκθέσει, διηγήσει.

sch ran 1123 πολλοὺς] λόγους. λέγε] λόγον.

sch ran 1126a τοῦτο “Ἑρμῆ χθόνιε” ἦν τοῦ Αἰσχύλου δράματος τῷ Ὀρέστῃ λεγόμενον κατὰ τὴν ἀρχήν. ἐποπτεύων] ἐπιτηρῶν.

sch ran 1128 γῆν τήνδε] τὴν Φωκίδα. τούτων] ἀπὸ τούτων, ὧν εἶπεν.

sch ran 1129b ἔχεις] δύνασαι. δώδεκα] πταίσματα.

sch ran 1130 πάντα γ’ ἐστὶν] δώδεκα. ἰαμβίοισι] στίχοις.

sch ran 1133b προσοφείλων] πίπτων, χρεωστῶν, ὑπ’ αἰτίαν ὤν. ἐγὼ .

sch ran 1134 .. τῷδ’] ἐγὼ νὰ σιωπήσω ἐν τούτῳ τῷ Εὐριπίδῃ. ὅσον] μέγα, πόλυ.

sch ran 1136 ὁρᾷ ς , ὅτι ληρεῖ ς; : ὁ Αἰσχύλος πρὸς τὸν Διόνυσον, ὡς ἀπατώμενον ὑπὸ Εὐριπίδου. διὸ ἐπιφέρει ὁ Διόνυσος· ἀλλ’ ὀλίγον γέ μοι μέλει. οὐ μέλει μοι ὑβριζομένῳ, ἀλλὰ καταφρονῶ σου. οὐ φροντίζω, φησί, κἂν λέγῃς, ὅτι ἥμαρτεν. οὐκ ἄλλως] ναί.

sch ran 1141 πότερ’] ἆρα. ἢ τὸν Ἑρμῆν ἀπὸ τοῦ ἄγαν ὀνεῖν, ἢ τὸν καταχθόνιον ἀπὸ τοῦ ἐν τῇ ἔρᾳ ναίειν.

sch ran 1144b (1) ἔλεγεν ἐπιτηρεῖν ἐκεῖνον τὸν Ἀγαμέμνονα ὁ Ὀρέστης τὸν Ἑρμῆν, ἀλλὰ τὸν ἐπιτηροῦντα τὰ πατρικὰ αὐτοῦ κράτη ἤγουν τὰ τοῦ Διός. (2) οὐ δῆτ’ ἐκεῖνον] ἤγουν τὸν Ἀγαμέμνονα ἔλεγεν ἐπιτηρεῖν. τοῦτο .

sch ran 1146

.. γέρας] τὸ ἐποπτεύειν καὶ εἶναι ἐριούνιον. οἶνον οὐκ ἀνθοσμίαν : οἷον κραιπαλᾷς ἱκανῶς καὶ ληρεῖς σκληρὸν οἶνον πιών, ἀλλ' οὐχ ἡδὺν οὐδὲ ἁπαλόν· οἷον μεθύεις.

sch ran 1150a “ ἀνθοσμία ς ” δὲ ὁ εὐώδης, ἐγκειμένου τοῦ ἄνθους καὶ τῆς ὀσμῆς· καὶ γέγονε παραγώγως “ἀνθόσμιος” καὶ “ἀνθοσμίας”. οἶνον . [5]

sch ran 1150b .. ἀνθοσμίαν] κακῶς λέγεις ἐν τῷ μεθύειν σε. βλάβος] σφάλμα.

sch ran 1159a μάκτραν , εἰ δὲ βούλει , κάρδοπον : εἴρηται ἐν τοῖς ἔμπροσθεν, ὅτι τοῦτο ἀρχαιότερόν ἐστι τὸ τὰς μεταλήψεις τῶν λέξεων τῶν ἰσοδυναμουσῶν ἐπιτηδεύειν. χρῆσον] δάνεισον. [5]

sch ran 1159c μάκτραν] σκαφίδιον. κατεστωμυλμένε] φλύαρε.

sch ran 1161a ταῦτ'] οὕτως. ἐπῶν] ἀπό.

sch ran 1161c ἔχειν] διακείμενον. καθ' ὅτι] κατὰ ποῖον τρόπον.

sch ran 1162b λέγεις] ταῦτα. ἐλθεῖν μὲν εἰς γῆν : ὅταν μετῇ τινι τῆς πατρίδος· ὅταν δὲ φυγὰς ἔλθῃ, τότε καὶ κατέρχεται.

sch ran 1163a ἰδίως δὲ ἐπὶ τῶν φυγάδων χρῶνται τῷ “κατέρχεσθαι”. μετῇ] μετουσία ὑπάρχῃ. [5]

sch ran 1165 φεύγων] διωκόμενος. πιθὼν] καταπείσας.

sch ran 1168b τοὺς κυρίους] τῆς πατρίδος αὐτοῦ. κακὸν] ἐπίψογον.

sch ran 1171b εἰς ... ἀπόβλεπε] ἀντὶ τοῦ “παρατήρει τὸ κακῶς λεγόμενον.” ταὐτὸν] ὅμοιον.

sch ran 1174b σαφέστατα] καὶ σαφές. μόχθηρε] ἄθλιε.

sch ran 1176 ἐξικνούμεθα] εἰσακουσθησόμεθα. ἢ στοιβὴν ἴδῃς : κἄν τι ἐλάχιστον ῥῆμα ἢ περισσὸν εὕρῃς καὶ παρέλκον ἐν τῷ λόγῳ· ἀπὸ τῆς στοιβῆς τῶν φορτίων.

sch ran 1178b στοιβὴν] σύνθεσιν. τοῦ λόγου] τοῦ πρέποντος.

sch ran 1183 φύσει] τῇ ἀληθείᾳ. ἀποκτενεῖν τὸν πατέρα : παρὰ τὰ Εὐριπίδου ἐν Φοινίσσαις εἰρημένα περὶ Οἰδίποδος καὶ Λαΐου· καὶ ὁ χρησμὸς δὲ οὕτως ἔχει.

sch ran 1186 λέγει γὰρ ὁ Ἀριστοτέλης· “ὁ δὲ οὐκ ἦν, πάντως οὐδὲ γέγονεν”. ἀθλιώτατος βροτῶν] ἐγένετο ἐπὶ καταπαύσει τινὸς πράγματος.

sch ran 1190a ἐξέθεσαν : τοῦτο ἔχει διασκευὴν παρ' αὐτῷ, τὸ “ χειμῶνος ὄντο ς” . τὸ δὲ “ ἐν ὀστράκ ῳ” , ἐπεὶ ἐν χύτραις ἐξετίθεσαν τὰ παιδία· διὸ καὶ χυτρίζειν ἔλεγον. ἐξέθεσαν] ἐξώρισαν. [5]

sch ran 1192a ἤρρησεν : μετὰ φθορᾶς εἰσῆλθεν· ἀπὸ τοῦ “ῥῶ”, “ῥάσσω.” ἤρρησεν] ἦλθεν.

sch ran 1192c οἰδῶν] ἐξογκούμενος. Ἐρασινίδης εἷς τῶν περὶ Ἀργίνουσαν στρατηγησάντων δυστυχῶς.

sch ran 1196 ἀπέθανε δὲ δημοσίᾳ οὗτός τε καὶ οἱ ὑπομείναντες Θράσυλος, Περικλῆς, Ἀριστοκράτης, Διομέδων. κατ' ἔπος] κατὰ στίχον. [5]

sch ran 1198b κνίσω] κόψω. ἤγουν ἀπὸ ἑνὸς λόγου ἀναιρήσω.

sch ran 1201 ἑνὸς] ναί, ἀπό. ποιεῖς γὰρ : οὕτω γὰρ τοὺς λόγους ποιεῖς, ὡς πάντα προσδέχεσθαι.

sch ran 1203a ὅτι μικροπρεπὲς τὸ κῳδάριον· οὐχ οὕτω ἐστὶ “θύλακον”, ἀλλ' ἐάν τις ποιήσῃ “θυλάκιον”, ἐγχωρεῖ. κῳδάριον] μικρὸν δέρμα.

sch ran 1207a ναυτίλῳ] ναυτικῇ. πλάτῃ] κώπῃ.

sch ran 1209 κλαύσεται] συντριβῇ. θύρσοισι] κλάδοις.

sch ran 1212a καθαπτὸς] ἐνδεδυμένος. Παρνασὸν] ὄρος.

sch ran 1216a ἕξει] δυνηθῇ. προσάψαι] εἰπεῖν.

sch ran 1217 πάντ'] κατά. ἐσθλὸς] εὐγενής.

sch ran 1219a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διαβάλλει τοῦτο καὶ λέγει τὸ “ληκύθιον”. “ἢ δυσγενὴς ὢν πλουσίαν ἄροι πλάκα”, ἤγουν γυναῖκα.

sch ran 1219c ληκύθιον ἀπώλεσεν p.i.m.] διαβάλλει τὴν ὁμοειδίαν τῶν εἰσβολῶν τῶν δραμάτων. ὑφέσθαι] ὑποχωρῆσαι.

sch ran 1221 πνευσεῖται πολύ] βαρέως κατὰ σοῦ. ἐκκεκόψεται] τὸ προσφέρειν τὸ ληκύθιον.

sch ran 1227a ἀποπρίω τὴν λήκυθον : ἤτοι πρὸς Εὐριπίδην ὁ λόγος, ὅτι ἀγόρασον παρ’ Αἰσχύλου τὴν λήκυθον, ἢ πρὸς Αἰσχύλον, ὥστε πωλῆσαι, ὡς εἰ εἶπεν· ὤνησαι αὐτὴν καὶ ἀπόδος ἀντὶ τῆς ἀπολωλυίας· τὸ δὲ “πρίω” ἐν ἴσῳ τῷ “ὤνησαι”. ὦ δαιμόνι’] ὦ Εὐριπίδη.

sch ran 1227c ἀποπρίω] ἀγόρασαι. διακναίσῃ] ἀποκόψῃ.

sch ran 1229a ἐγὼ πρίωμαι : ἀντὶ τοῦ “ἀγοράσω τὴν λήκυθον καὶ ἀποδώσω τὴν ἀπολωλυῖαν;” δῆλον γέγονεν, ὅτι τὸ “ἀποπρίω” ἀντὶ τοῦ “ἐξώνησαι”. λέγει δὲ τοῦτο, ἐπειδὴ συνεχῶς ἐκεῖνος ληκύθιον ἀπώλεσεν. πρίωμαι] ἀγοράσω.

sch ran 1229c ἐὰν ... ἐμοί] ποίησον, ὅπερ σοι λέγω. ἕξω] δυνηθῶ.

sch ran 1231 προσάψαι] εἰπεῖν. τὸ λοιπὸν τοῦ ἰάμβου· “Οἰνομάου γαμεῖ κόρην.

sch ran 1233 ” λήκυθον ἀπόδος ἀντὶ τῆς ἀπολομένης· ἐπιλέγει γὰρ “λήψῃ ὀβολῷ πάνυ καλήν”.

sch ran 1235b ἀπόδος] ἀντὶ τῆς ἀπολωλυίας. οὔπω γ’] ἀγοράσω.

sch ran 1237b συχνοί] πρόλογοι. ὅπερ οἱ κοινοὶ λέγουσιν “ὅσον”, τοῦτο οἱ Ἀττικοὶ “μεταξύ.

sch ran 1242a ” καὶ .

sch ran 1242b .. ὑφείλετο] ἀπώλεσε τὸ ληκύθιον. ἔα] ἔασον.

sch ran 1243b πρὸς τοδὶ] ὃ μέλλω εἰπεῖν. εἰπάτω] εἴπῃ.

sch ran 1247a πάθη περὶ τοὺς ὀφθαλμοὺς δυσαπόσπαστα ὥσπερ τὰ σῦκα, τὰ ὑπὸ τῶν ἰατρῶν συκώματα λεγόμενα, σῦκα ἔφη. ἢ ἕλκος γενόμενον ἐπὶ τοῖς ὀφθαλμοῖς σῦκον λεγόμενον. σῦκ’] λῆμαι.

sch ran 1249 ἔχω γ’ ὡς] γρ. ἔγωγ’ ὡς. ταὖτ’] ὅμοια.

sch ran 1253 μέμψιν] ὕβριν. τὸν βακχεῖον ἄνακτα : οἷον τὸν ἄριστον μελοποιόν, τὸν ὥσπερ ἐκβακχεύοντα ἐν τῇ ποιήσει.

sch ran 1259 ὃ γὰρ Εὐριπίδης ἔρχεται ἐπὶ τὰ μέλη αὐτοῦ. εἰς ἓν] ὁμοῦ.

sch ran 1262b ξυντεμῶ] ἐγώ. λογιοῦμαι] ἀπαριθμήσω.

sch ran 1263b ταῦτα] τὰ μέλη. τῶν ψήφων] διά.

sch ran 1263bis διαύλιον προσαυλεῖ τις] ὥσπερ τὸ διάψαλμα λέγεται, οὕτω καὶ τοῦτο. ἀνδροδάϊκτον] κατάκοπον.

sch ran 1263biu ἰήκοπον] διὰ βελῶν κόπτουσαν. γένος] τό.

sch ran 1266b οἱ περὶ λίμναν] οἱ περὶ θάλασσαν· νησιῶται. τούτω] οὗτοι.

sch ran 1270 μου] ἀπ’. ἰήκοπον] διὰ βελῶν κόπτουσαν.

sch ran 1272 οὗτος] ἐπάγει. εὐφαμεῖτε μελισσονόμοι] “ὦ πολῖται”.

sch ran 1273 τὸ γὰρ παλαιὸν περὶ πολλοῦ εἶχον τὰς μελίσσας. θροεῖν] λέγειν.

sch ran 1276b ὅσιον] δίκαιον. αἴσιον] τὸ πρέπον.

sch ran 1280a τὼ] εἰς. βουβωνιῶ] ἀλγῶ τῷ τῶν βουβώνων πάθει, τῷ τῶν πανουκλῶν.

sch ran 1287a δυσαμερίαν] κακήν. πρύτανιν] χορηγόν.

sch ran 1289 θούριος ὄρνις] ἢ ὁ Ὀρέστης ἢ ὁ Οἰδίπους. κυρεῖν] ἐμπεσεῖν.

sch ran 1292 κυσὶν] τοῖς γυψίν. τὸ συγκλινές τ’] ἀνάρμοστον τοῦτο.

sch ran 1296 ἐκ Μαραθῶνος : ἐπεὶ ὁ φλέως ἄνθος ἐν Μαραθῶνι· διὰ τὸ ἔχειν ἐν ἀρχῇ τὸ παρόμοιον τῷ φλέῳ, τὸ “φλαττο”. ὡς ἐν Μαραθῶνι οὖν τοῦ φλέω πολλοῦ ὄντος· ἑλώδης γὰρ ὁ τόπος. ἱμονιοστρόφου μέλη : οἷον σχοινιοστρόφου μέλη· ἱμονιὰ γὰρ καλεῖται τὸ τῶν ἀντλημάτων σχοινίον, καὶ τὸ ᾆσμα, ὃ ᾄδουσιν οἱ ἀντληταί, ἱμαῖον. [5]

sch ran 1298 ἤγουν εἰς τὸ κάλλιον· ἐκ τοῦ κιθαρῳδικοῦ καλοῦ ὄντος εἰς τὸ τραγικὸν μετήνεγκα. τὸν αὐτὸν Φρυνίχῳ : ἵνα μὴ τὰ αὐτὰ τῷ Φρυνίχῳ μελοποιῶ· ἦν δὲ οὗτος ἡδὺς ἐν τοῖς μέλεσιν ὁ Φρύνιχος.

sch ran 1299b αὖθ’] καὶ αὐτά. τὸν αὐτὸν] ὅμοιον.

sch ran 1300 δρέπων] δρεπόμενος. οὗτος] ὁ Εὐριπίδης.

sch ran 1301b πορνιδίων] μέλη. Μελήτου : προείρηται, ὅτι τραγικὸς ποιητὴς ὁ Μέλητος.

sch ran 1302a οὗτος δέ ἐστιν, ὅντινα Σωκράτης γράφει· κωμῳδεῖται δὲ καὶ ὡς ψυχρὸς ἐν τῇ ποιήσει καὶ ὡς πονηρὸς τὸν τρόπον. καρικῶν] βαρβαρικῶν· οἱ Κᾶρες γὰρ “βαρβαρόφωνοι”. [5]

sch ran 1304a τὸ λύριον] τὴν λύραν. τί δεῖ] χρεία ᾗ.

sch ran 1305 ὀστράκοις : ὅτι εἰώθασιν ἀντὶ λύρας κογχύλια καὶ ὀστράκια κρούοντες εὐρύθμως τινὰ ἦχον ἀποτελεῖν τοῖς ὀρχουμένοις. δεῦρο] ἐλθέ.

sch ran 1308 αὕτη … ἐλεσβίαζεν] παρανόμους γάμους ἐποίει, ὡς οἱ ἐν Λέσβῳ. φάλαγγες : ἀράχνιόν τι ἡ φάλαγξ· λέγουσι δὲ καὶ τῶν δακτύλων τὰ ἄκρα φάλαγγας, ἅπερ νῦν μᾶλλον ‵ —ψευδῶς— ′ λέγει.

sch ran 1314 ἡ δὲ ἐπέκτασις τοῦ είειει ειειειει λίσσετε κατὰ μίμησιν τῆς μελοποιίας. ἀπὸ τοῦ “πένω” τὸ “ἐνεργῶ”.

sch ran 1315b πηνίσματα] ἔργα. μελέτας] διά.

sch ran 1320 οἰνάνθας] τῆς πρώτης ἐκφύσεως τῆς ἀμπέλου. περίβαλλ’] περίπλεξον.

sch ran 1324 ὁρᾷς] πόδα. Κυρήνη τις ἑταίρα ἐπίσημος, δωδεκαμήχανος ἐπικαλουμένη διὰ τὸ τοσαῦτα σχήματα ἐν τῇ συνουσίᾳ ποιεῖν.

sch ran 1328b Κυρήνης] πόρνης. μελοποιῶν] ὁ.

sch ran 1330 τρόπον] πόνον. ὦ Νυκτὸς : παρὰ τὰ ἐξ Ἑκάβης Εὐριπίδου, ἐν μιμήσει δηλονότι· οὕτω γὰρ παραγέγραπται· ὦ στεροπὰ Διός, ὦ σκοτία Νύξ.

sch ran 1331b κελαινοφαὴς] ἡ μέλαινα φαινομένη. πρόμολον] προελθόντα.

sch ran 1334a ἔχοντα] τὸν ὄνειρον. μελαίνας] τῆς.

sch ran 1335 παῖδα] τόν. ἀπὸ τοῦ χαλᾶσθαι ἐν τῇ πίδακι.

sch ran 1339 ἤγουν τὸ ἀγγεῖον. ἀποκλύσω : καὶ τοῦτο μιμεῖται Αἰσχύλος.

sch ran 1340 τοῦτο δὲ λέγει, παρόσον ἀποδιοπομπεῖσθαι εἰώθασι τοὺς χαλεπωτέρους τῶν ὀνείρων. φρούδη] γέγονεν.

sch ran 1344b Γλύκη] ἡ. αἱ ἔχουσαι ἐξ ὄρους τὴν γονήν.

sch ran 1345 ξύλλαβε] βοήθησον. κνεφαῖος] σκοτεινή.

sch ran 1350 ἀποδοίμαν] ἀποδώσαιμι. ὁ δ’] ὁ ὄνειρος· ἢ ὁ ἀλέκτωρ.

sch ran 1352 ἀκμαῖς] ὀξύτησιν. Ἴδας] τῆς.

sch ran 1357 ἐπαμύνατε] βοηθήσατε. Δίκτυννα] ἡ ἀπὸ ὄρους Δικτύνου.

sch ran 1360 κυνίσκας] μικρὰ σκυλάκια. ἀνέχουσα] κρατοῦσα.

sch ran 1362a χεροῖν] ἐν. Ἑκάτα] ὦ Σελήνη.

sch ran 1362c παράφηνον] δεῖξον. ἐς Γλύκης] τὸν οἶκον τῆς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ran 1363 φωράσω] κλέψω. κἄμοιγ’ ἅλις] αὐτάρκως ἔχει.

sch ran 1365a σταθμὸν] ζυγόν. ἀγαγεῖν] ὑμᾶς.

sch ran 1366a μόνων] γρ. μόνον. μόνων] πῶς.

sch ran 1367a βάρος] σταθμός. νῶ] ὑμῶν.

sch ran 1367c βασανιεῖ] δοκιμάσει ὁ σταθμός. τοῦτό με] ποιῆσαι.

sch ran 1369 τυροπωλῆσαι] καμπανίσαι. ἐπίπονοί] κοπηροί.

sch ran 1370b δεξιοί] καὶ ποιηταί· ἢ οἱ ἄνθρωποι. νεοχμόν] νέον.

sch ran 1372b ἀτοπίας πλέων] θαύματος πεπληρωμένον. ὅστις] καὶ τίς.

sch ran 1374a ἐλλειπτικῶς ὀμνύει· καὶ οὕτως ἔθος ἐστὶ τοῖς ἀρχαίοις ἐνίοτε μὴ προστιθέναι τὸν θεόν· εἰώθεισαν δὲ τοῖς τοιούτοις ὅρκοις χρῆσθαι ἐπευφημιζόμενοι, ὥστε εἰπεῖν μὲν “μὰ τόν”, ὄνομα δὲ μηκέτι προσθεῖναι. μὰ τόν] Διόνυσον· ἀττικῶς ἐλλείπει.

sch ran 1376 ᾠόμην] γρ. ᾤμην. αὐτὰ] κατὰ τά.

sch ran 1378 ἴθι] ἄγε. λαβομένω] τοῦ ζυγοῦ.

sch ran 1379b λαβομένω] λαβόμενοι. κοκκύσω] συρίσω, σύνθημα δῶ.

sch ran 1381 σταθμόν] καμπανόν. διαπτᾶσθαι] διαπετάσαι.

sch ran 1383a Σπερχειὲ] ὦ. βούνομοί] ὑπὸ βοῶν κατανεμόμεναι.

sch ran 1385a τὸ τοῦδε] Αἰσχύλου λόγιον. ταἴτιον] ὅτι χωρεῖ.

sch ran 1386 ἐριοπωλικῶς : ὡς οἱ τὰ ἔρια πωλοῦντες βρέχουσιν αὐτά, ἵνα βαρύνωσιν ἐν τῷ σταθμῷ. τἄρια] μαλία.

sch ran 1389a εἰπάτω] ὁ Αἰσχύλος. κἀντιστησάτω] τῷ ἐμῷ ῥητῷ.

sch ran 1390 ἠνὶ ἀντὶ τοῦ “ἰδού”. ἢ χρυσὸς ἤ τι ἄλλο.

sch ran 1391b ἄλλο] γρ. οὐδέν. θεῶν] ἀπὸ τῶν.

sch ran 1393 ῥέπει p.i.m.] κατωφερὲς εἶσι καὶ κλίνεται. ἐξ οὗ καὶ “ῥοπή” ἡ βοήθεια. πείθω] εἶπα τήν.

sch ran 1396a διασύρει τοὺς Ἀθηναίους διὰ τὸ καταπείθεσθαι ὑπὸ ῥητόρων αὐτούς. πειθὼ δὲ] μετάληψις.

sch ran 1398a σοι] ἐν. καθέλξει] καταβιβασθείη.

sch ran 1399 μοὐστί] ἤγουν ἐμοί. Ἀρίσταρχός φησιν ἀδεσπότως τοῦτο παραφέρεσθαι, ὡς Εὐριπίδου πεποιηκότος κυβεύοντας ἐν τῷ Τηλέφῳ, οὓς καὶ περιεῖλε· μήποτ’ οὖν ἐκεῖθεν ἦν.

sch ran 1400a μᾶλλον δὲ ἐσχεδιακὼς ἂν εἴη ὁ Ἀριστοφάνης· οὐδὲ γὰρ τὸν Εὐριπίδην 〈τοῦτο〉 προφερόμενον, ἀλλὰ τὸν Διόνυσον χλευάζοντα. τινὲς δέ, ὅτι ἐν τῷ Φιλοκτήτῃ ἦν ὁ τόπος· οἱ δὲ ἐν τῇ Ἰφιγενείᾳ τῇ 〈ἐν〉 Αὐλίδι. ἐμφαίνει δὲ καὶ Εὔπολις τοῦτο εἰδώς· ἀποφθαρεὶς δὲ δύο κύβω καὶ τέτ[ταρα. τοῦτο δὲ Διόνυσος ὑποβάλλει αὐτῷ χλευάζων. βέβληκ’] ἔβαλεν.

sch ran 1401a σφῷν] ὑμῶν. φράσις] γρ.

sch ran 1401b στάσις. στάσις] ἤγουν στάθμη.

sch ran 1402 δεξιᾷ] ἐν τῇ. νεκρῷ] νεκρὸν.

sch ran 1408 καὶ ἡ γυνή , Κηφισοφῶν : διὰ τούτου δηλοῖ σχεδόν τι τὸ συναμφότερον, ὡς Κηφισοφῶν συνεποίει τὰ δράματα καὶ τὴν γυναῖκα αὐτοῦ εἶχεν. ἄλλως : οὐχ ὡς μόνον συμποιοῦντος αὐτῷ τοῦ Κηφισοφῶντος τὰ δράματα, ἀλλὰ καὶ ὡς συνόντος αὐτοῦ τῇ γυναικί. σοφὸν μὲν Εὐριπίδην λέγει, ἥδεσθαι δὲ τῷ Αἰσχύλῳ.

sch ran 1413 οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ τοὐναντίον, καὶ ἑκατέρῳ συνηγορεῖν, καὶ μάλιστα, ὅτι ἥδεται Εὐριπίδῃ, ὡς καὶ ἐν ἀρχῇ προεῖπεν. τῷ δ’ ἥδομαι p.

sch ran 1413b i.m.] Εὐριπίδῃ· ἤγουν γελῶ αὐτόν, ὅσπερ γράφει ἰδιωτικῶς. κρίνω;] ἀμφοτέρους.

sch ran 1415b ὡς τὸ “ἔξει”, οὕτω καὶ τὸ “ἄπει”. ἄπει] καὶ ἄπελθε.

sch ran 1416 κρίνῃς] δοκιμάσῃς. εὐδαιμονοίης] ὦ Πλοῦτε.

sch ran 1417b πύθεσθέ] δοτικῇ καὶ αἰτιατικῇ. ταδί] εἰς.

sch ran 1418 ἐπὶ] διά. σωθεῖσα] εἰς τὴν ἀρχαίαν εὐταξίαν ἐλθοῦσα.

sch ran 1419b ἄγῃ] ἐπιτελῇ. ὁπότερος] ὁποῖος.

sch ran 1422 περὶ Ἀλκιβιάδου : περὶ τῆς δευτέρας αὐτοῦ λέγει ἀποχωρήσεως, ἣν ἑκὼν ἔφυγε, κατελθὼν μὲν ἐπὶ Ἀντιγένους πρὸς ἐνιαυτοῦ τῶν Βατράχων, διὰ δὲ τὸ πιστεῦσαι Ἀντιόχῳ τῷ κυβερνήτῃ τὸ ναυτικὸν καὶ ἡττηθῆναι ὑπὸ Λυσάνδρου δυσχερανθεὶς ὑπὸ Ἀθηναίων. Ἄνδρων δὲ διαφέρεται πρὸς Ξενοφῶντα περὶ τῆς καθόδου. Καλλίστρατος δέ φησι , καθ’ ὃν ἐκπεσὼν ἐν Λακεδαίμονι διατρίβων ἔπεισε Λακεδαιμονίους Ἀθηναίοις Δεκέλειαν ἐπιτειχίσαι· τελέως δὲ πταίουσι. γεγόνασι δὲ Ἀλκιβιάδαι τέσσαρες. ἔχει] ἡ πόλις. [15]

sch ran 1425 ποθεῖ μὲν : παρὰ τὰ ἐκ τῶν Ἴωνος Φρουρῶν, ὅπου ἡ Ἑλένη πρὸς τὸν Ὀδυσσέα φησί· σιγᾷ μέν, ἐχθαίρει δέ· βούλεταί γε μήν. ὁ δὲ λόγος· ποθεῖ μὲν ὡς δραστήριον, ἐχθαίρει δὲ ὡς τυραννικόν. μισῶ πολίτην : αὕτη Εὐριπίδου ἡ γνώμη, μὴ καταδέχεσθαι καθάπαξ Ἀλκιβιάδην· χαρακτηρίζει δὲ αὐτὸν ἅμα. [5]

sch ran 1427a ταῦτα δέ φησιν Εὐριπίδης περὶ Ἀλκιβιάδου ὡς ὄντος αὐτοῦ τοιούτου, βραδέως μὲν ὠφελοῦντος τὴν πατρίδα, ταχέως δὲ βλάπτοντος. ὠφελεῖν] εἰς τό. [5]

sch ran 1428 βλάπτειν] εἰς τό. εὖ γ’, ὦ Πόσειδον] ἢ ἐπὶ ἐκπλήξεως· ἢ ὡς ὢν οὗτος ὁ στίχος Εὐριπίδου.

sch ran 1432 ὑπηρετεῖν] χρή. δυσκρίτως γ’ ἔχω] διάκειμαι εἰπεῖν, ὅπερ ἐστὶ κρεῖττον.

sch ran 1434a ὃ μὲν] ὁ Αἰσχύλος. σαφῶς] ἰδιωτικῶς.

sch ran 1437a εἴ μὲν ὅλον τοῦ Εὐριπίδου, παρ’ ὑπόνοιαν· εἰ δ’ ἕτερον πρόσωπον τὸ “ αἴροιε ν” , ἄνευ ὑπονοίας ἐστὶ καὶ τὸ πρόσωπον ὁ Διόνυσος. Κινησίᾳ] τῷ.

sch ran 1438a αὖραι] αἱ. αὖραι] αἱ πνοαί.

sch ran 1445 ἀμαθέστερόν πως] μὴ δεόμενον μαθήσεως καὶ ἑρμηνείας. τῶν] ἀπό.

sch ran 1448 ἴσως] γρ. ἴσθι. ἐπιχείρημα ἐκ τοῦ ἐναντίου.

sch ran 1449b τούτοισι] τοῖς νῦν δημαγωγοῖς. εἰκὸς ἦν πεπλάσθαι ὑπὸ τοῦ Παλαμήδους.

sch ran 1452 Κηφισοφῶν] εὗρεν ὁ. πόθεν] ἴσον τοῦτο τῷ “οὐδαμῶς.

sch ran 1455 ” χλαῖνα : εἶδος εὐτελές, οἷον ἐξωμὶς ἢ ἐπωμὶς ἤ τι τοιοῦτον.

sch ran 1459a ὃ δὲ νοῦς· μήτε χρηστὸν μήτε φαῦλον. ἡ δὲ σισύρα δοκεῖ βαπτὴ εἶναι, ἐκ δερμάτων αἰγείων, ἡ δὲ χλαῖνα ἀπὸ ἐρίων. μήτε . [5]

sch ran 1459b .. σισύρα] ἤτοι μήτ’ ἀγαθὸν μήτε κακόν. ξυμφερεῖ] ὠφελεῖ.

sch ran 1460a εὕρισκε] γνώμην. εἴπερ ἀναδύσει] θέλεις ὅτι.

sch ran 1460c πάλιν] εἰς τὴν πόλιν. ἀνίει] ἀνάδος, πέμπε.

sch ran 1463a εἴ τὴν μὲν Ἀττικὴν ὡς πολεμίαν ἐάσουσι τέμνεσθαι, ἢ καὶ οὐ τεμοῦσι, τὴν δὲ Λακωνικὴν περιπλεύσουσιν. καὶ ἄλλως : ἐπὶ τὴν Περικλέους φέρεται γνώμην, ὃς συνεβούλευσε περιπλεῖν τὴν πολεμίαν, μὴ μάχεσθαι δὲ τεμνομένης τῆς Ἀττικῆς. νομίσωσι] οἱ Ἀθηναῖοι. [5]

sch ran 1465 καὶ τοῦτο κατὰ τὴν τοῦ Περικλέους γνώμην, ὃς ἐκέλευσεν Ἀθηναίοις ἐμβαλόντων μὲν Λακεδαιμονίων εἰς τὴν Ἀττικὴν μὴ ἐπεξιέναι, ἀλλ’ ἔσω τοῦ τείχους μένειν αὐτούς, διὰ δὲ τῶν πλοίων ἐπιέναι τῇ Λακωνικῇ. τὸν οὖν κατὰ γῆν πόρον ἀπορίαν ἡγεῖσθαι, τὸν δὲ διὰ θαλάσσης, τοῦτον ἡγεῖσθαι πόρον. ἢ καὶ οὕτως· ἕνα μὲν πόρον ἡγεῖσθαι χρημάτων τὸ ναῦς ὡς πλείστας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔχειν, τὸν δὲ ἄλλον πόρον, ὃς ἔξω τῆς γῆς ἦν, τοῦτον ἀπορίαν νομίζειν, οἷον τὰ θεωρικὰ ἢ δικαστικὰ ἢ ἐκκλησιαστικά. πρὸς ταύτην δὲ τὴν ἔννοιάν φησιν ὁ Διόνυσος· “ πλήν γ ’ ὁ δικαστή ς” , ὡς πολλῶν δαπανωμένων εἰς τὸν δικαστικὸν μισθόν. εὖ] καλῶς λέγεις. [15]

sch ran 1467a ἢ σφῷν καὶ ὑμῖν. κρίνοις ἄν] καὶ κρῖνε.

sch ran 1467c σφῷν] καὶ ὑμῶν. τοὺς φίλους] ἤγουν ἐμὲ τὸν φίλον.

sch ran 1475 τοῖς θεωμένοις] τοῖς ἀκροαταῖς. τὸ ζῆν] σε.

sch ran 1478 τὸ πνεῖν δὲ δειπνεῖν] διὰ τὴν παρήχησιν γελᾷ αὐτόν. χάριεν] κρεῖττον, εὐφρόσυνον.

sch ran 1492a παρακαθήμενον] τινά. λαλεῖν] φλυαρεῖν.

sch ran 1493 μουσικὴν] ἤγουν τὴν ποιητικὴν καὶ λογικὴν τέχνην. δ’] γάρ.

sch ran 1496b σεμνοῖσι] ἐπηρμένοις. λόγοισι] φιλοσόφοις.

sch ran 1497a σκάριφος δὲ τὸ κονδύλιον. σκαριφισμοῖσι] ζωγραφίαις, ταῖς διατυπώσεσιν.

sch ran 1500 ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα. τουτὶ] ἢ σχοινίον ἢ σημεῖόν τι.

sch ran 1505 πορισταῖς] φιλολόγοις. στίξας] μαστίξας.

sch ran 1512 ξυμποδίσας] τετραποδίσας. τοῦ Λευκολόφου] τοῦ υἱοῦ.

sch ran 1515 σὺ δὲ] ὦ Πλούτων. ὁ πανοῦργος ἀνὴρ] ἤγουν ὁ Εὐριπίδης.

sch ran 1523 μηδ’ ἄκων] ὑπερβολικόν. μέλεσι] ἐν τοῖς.

sch ran 1528 ἡρωϊκὰ ἑξάμετρα. ὀρνυμένῳ] κινουμένῳ.

sch ran 1530 ἐπινοίας] βουλάς. ξυνόδων] συνελεύσεων.

sch ran 1533a τούτων] ἀπὸ τούτων. πατρίοις ἐν ἀρούραις] κωμῳδεῖ ὡς ξένον τὸν Κλεοφῶντα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org